ὁ Χριστὸς προεγνώσθη. ἀλλ' ὡς ἄνθρωπος. ἤ-
γουν ἡ κατ' οἰκονομίαν αὐτοῦ δι' αὐτὸν
ἄνθρωπον σάρκωσις· τὸ γὰρ ἄναρχον, ἐκ
τοῦ ἀνάρχου ὑπὲρ αἰτίαν καὶ λόγον.
οὐδέποτε προεγνώσκεται· ἡ γὰρ πρό-
γνωσις τῶν ἀρχὴν ἐχόντων τοῦ εἶναι
δι' αἰτίαν ἐστίν· προεγνώσθη οὖν ὁ Χριστός,
οὐχ ὅπερ ἦν κατὰ φύσιν δι' ἑαυτόν.
ἀλλ' ὅπερ ἐφάνη κατ' οἰκονομίαν
δι' ἡμᾶς γενόμενος ὕστερον· ἔδει γὰρ
ὡς ἀληθῶς τὸν κατὰ φύσιν τῆς
τῶν ὄντων οὐσίας δημιουργόν, καὶ τῆς
κατὰ χάριν αὐτουργὸν γενέσθαι τῶν
γεγονότων θεώσεως. ἵνα ὁ τοῦ εἶναι
δοτὴρ φανῇ καὶ τοῦ ἀεὶ εὖ εἶναι χαρι-
στικός· ἐπεὶ οὖν οὐδὲν τῶν ὄντων ἑαυ-
τὸ τὸ παράπαν ἢ ἄλλο γινώσκει ὅτι
ποτέ ἐστιν. εἰκότως οὐδὲ τῶν γεγενη-
μένων οὐδενὸς οὐδὲν τῶν ὄντων [illegible]

κατὰ φύσιν τὴν προσήκουσαν· τὴν
τοῦ ὑπερτάτου ὄντως θεοῦ· τοῦ καὶ ἑαυτὸν
γινώσκοντος, ὅ τί ποτέ ἐστι κατ' οὐσίαν
ἐστιν. καὶ πάντων τῶν ὑπ' αὐτοῦ ποιου-
μένων. καὶ περιηγεῖσθαι τὴν ὕπαρ-
ξιν· καὶ μέτρον τῶν κατὰ χάριν φιλο-
τιμεῖσθαι τοῖς οὖσιν τὴν ἑαυτῶν καὶ
ἄμετρον ὅ τί ποτέ ἐστι κατ' οὐσίαν ὕπαρ-
ξιν γνῶσιν· καὶ τοὺς ἐν αὐτῷ μόνῳ
ἀληθῶς φρονοῦντας τῆς αὐτῶν γενέσε-
ως φανερῶσαι λόγους· τὸ γὰρ δὴ λέ-
γειν τινὰς προεγνῶσθαι τὸν Χριστὸν πρὸ
καταβολῆς κόσμου, ἐκ φωνῆς ὕστερον
ἐφανερώθη ἐπ' ἐσχάτων τῶν χρόνων,
ὡς αὐτῶν ἐκ φωνῶν πρὸ καταβολῆς
κόσμου ὄντων σὺν τῷ προεγνωσμέ-
νῳ Χριστῷ· ὡς τῆς ἀληθείας ἀλλότριον
ὄντα τὸν λόγον ὅθεν δὴ συναΐδιον τῷ
θεῷ τὴν τῶν λογικῶν οὐσίαν ἐξάγον-
τα παραγραφόμεθα· οὐ γάρ ἐστι
παρ' ἑτέροις σὺν Χριστῷ γενέσθαι καθὸ θεὸς
ἐστιν, καὶ πάλιν αὐτοῦ τὸ σύνολον ἀπο-
γενέσθαι ποτέ. ἢ πεῖραν ἐν αὐτῷ πεφυ-
κέναι τῶν αἰωνίων ἀποπειράτως
γίνεσθαι καὶ ἑκάστοτε τῶν κινουμένων·
καθ' ἣν οὐδὲν ἔσται τὸ παράπαν τῶν ὄντων

τρεπόμενον· ἄμωμον μὲν δὲ καὶ ἄσπιλον
τὸν Χριστὸν ὁ τῆς γραφῆς ἔφη λόγος, ὡς κατὰ
φύσιν καὶ ὡς μὴ φύσει [illegible] τῆς
κατὰ τὴν γνώμην [illegible] φθορᾶς ἀλλό-
τριον· οὐ γὰρ ἔσχεν αὐτοῦ μῶμον κακί-
ας ἡ ψυχή, οὐδὲ τὸ σῶμα σπίλον τῆς ἁ-
μαρτίας· [illegible] ἐρώτησις ξα´.
Ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ
τοῦ οἴκου τοῦ θεοῦ· εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν,
τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ
θεοῦ εὐαγγελίῳ; καὶ εἰ ὁ μὲν δίκαιος μό-
λις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς
ποῦ φανεῖται; τί ἐστιν τὸ ὁ καιρὸς τοῦ
ἄρξασθαι τὸ κρίμα ἐκ τοῦ οἴκου τοῦ θεοῦ καὶ
τὸ εἰ ὁ δίκαιος μόλις σώζεται· ἀπόκρ(ισις).
Τὴν φύσιν τῶν ἀνθρώπων δημιουργήσας ὁ
θεός, οὐ συνέκτισεν αὐτῇ κατὰ τὴν αἴσθη-
σιν· οὔτε ἡδονήν, οὐ τὸ ὀδύνην· ἀλλὰ
δύναμίν τινα κατὰ νοῦν αὐτῇ πρὸς
ἡδονήν· καθ᾽ ἣν ἀρρήτως αὐτοῦ ἀπολαύειν
αὐτοῦ δυνήσεται, ἐνέθηκεν· ταύ-
την δὲ τὴν δύναμιν· φημὶ δὲ τὴν κατὰ
φύσιν τοῦ νοῦ πρὸς τὸν θεὸν ἔφεσιν· ἅμα
τῷ γενέσθαι τῇ αἰσθήσει δοὺς ὁ πρῶ-
τος ἄνθρωπος, πρὸς τὰ αἰσθητὰ κατ᾽ αὐ-
τὴν τὴν πρώτην κίνησιν διὰ μέσης

[illegible] ὀδύνην τῇ φύσει [illegible]
[illegible]

τῆς αἰσθήσεως, ἄρχειν παρὰ φύσιν ἐνερ-
γουμένην τὴν ἡδονήν· καὶ τὴν κατὰ
πρόνοιαν ὁ τῆς ἡμετέρας σωτηρίας κη-
δόμενος, παρενέπηξεν ὥσπερ τινὰ τι-
μωρὸν δύναμιν τὴν ὀδύνην· καθ' ἣν
ὁ τοῦ θανάτου μετὰ σοφίας ἐνερριζώ-
θη τῇ τοῦ σώματος φύσει νόμος, ἀφ-
ορίζων τῆς τοῦ νοῦ μανίας παρὰ φύσιν
ἐπὶ τὰ αἰσθητὰ κινουμένην τὴν ἔ-
φεσιν· ἐντεῦθεν διὰ τὴν ἐπεισαχθεῖ-
σαν τῇ φύσει παράλογον ἡδονήν, ἡ κατὰ
λόγον ἀντεισῆλθεν ὀδύνη διὰ τῶν πολλῶν
παθημάτων· ἐν οἷς καὶ ἐξ ὧν ὁ θάνατος
ποιουμένη τῆς παρὰ φύσιν ἡδονῆς
τὴν ἀφαίρεσιν· οὐ μὴν δὲ καὶ τελείαν
ἀναίρεσιν· καθ' ἣν ἡ κατὰ φύσιν τῆς
θείας ἡδονῆς ἀναδείκνυσθαι πέ-
φυκεν χάρις· πᾶς γὰρ πόνος, ὡς
αἰτίαν τῆς ἰδίας γενέσεως ἔχων κατ' ἐ-
νέργειαν προηγουμένην τὴν ἡδο-
νήν, χρέος ἐστὶν ὀφειλόμενον φυσικῶς
κατ' αἰτίαν παρὰ πάντων τῶν μετε-
χόντων τῆς φύσεως ἐκτιννύμενον·
τῇ γὰρ παρὰ φύσιν ἡδονῇ πάντως
παρέπεται φυσικῶς ὁ πόνος ἐν πᾶσιν.
ὧν ὁ τῆς ἡδονῆς νόμος ἀναιτίως

ὅτι κατὰ πρόνοιαν πρὸς [illegible]
[illegible]

ͻχϲ

ἡ τῆς ἐκουσίου πον[illegible]
[illegible]

προκαθηγήσατο τῆς γενέσεως· ἁμαρ-
τίαν λέγω τὴν ἐκ τῆς παραβάσεως
ἡδονήν. ὡς μὴ γενομένην δῆλον ὅτι
προλαβόντος πόνου διάδοχον.
οὐκοῦν. ἐπειδὴ μετὰ τὴν παράβασιν πάν-
τες ἄνθρωποι τὴν ἡδονὴν εἶχον τῆς ἰδί-
ας φυσικῶς προκαθηγουμένην γενέ-
σεως· καὶ οὐδεὶς ἦν τὸ σύνολον ὁ τῆς κα-
θ' ἡδονὴν ἐμπαθοῦς γενέσεως φυσι-
κῶς ὑπάρχων ἐλεύθερος· ἀλλ' ὥσπερ χρέ-
ος πάντες φυσικὴν ἀποδιδόντες, τοὺς
πόνους καὶ τὸν ἐπὶ τούτοις ἑπόμενον θά-
νατον· καὶ ἦν ἄπορος παντάπασιν
ὁ τῆς ἐλευθερίας πρόοδος· τοῖς ὑπὸ
τῆς ἀδίκου τυραννουμένοις ἡδονῆς·
καὶ ὑπὸ τῶν δικαίων πόνων καὶ τοῦ ἐπ' αὐ-
τοῖς δικαιοτάτου θανάτου φυσικῶς
ἐνεχομένοις· ἔδει δὲ πρὸς ἀναίρεσιν
μὲν τῆς ἀδικωτάτης ἡδονῆς· καὶ τῶν
δι' αὐτὴν δικαιοτάτων πόνων· ὑφ' ὧν
ἐλεεινῶς διεσπᾶτο πάσχων ὁ ἄνθρωπος·
ἐκ φθορᾶς τῆς καθ' ἡδονὴν ἔχων μὲν
ἀρχὴν τῆς γενέσεως· καὶ εἰς φθορὰν δὲ
διὰ θανάτου τὸ τῆς ζωῆς καταλήγων
τέλος· πρὸς διόρθωσιν τῆς
πασχούσης φύσεως· ἐπινοηθῆναι

[illegible]

πόνον καὶ θάνατον ἄδικον ὁ μὲν οὖν καὶ ἀναί-
τιον· ἀναίτιον μέν, ὡς οὐδαμῶς προλαβοῦ-
σαν ἡδονὴν ἐσχηκότα κατὰ τὴν γένε-
σιν· ἄδικον δέ, ὡς οὐδὲ μίαν τὸ παρά-
παν ἐμπαθοῦς ζωῆς ὄντα διαδοχήν·
ἵν᾽ ἀμφοτέρως διαληφθείσης ἡδονῆς ἀδίκου
καὶ πόνου καὶ θανάτου δικαιοτάτου.
πόνος καὶ θάνατος ἀδικώτατος. ἀμε-
μη δι᾽ ὅλου τὴν ἐξ ἡδονῆς ἀδικωτάτην
ἀρχήν. καὶ τὸ δι᾽ αὐτὴν διὰ θανάτου
δικαιότατον τέλος τῆς φύσεως. καὶ
γένηται πάλιν ἡδονῆς καὶ ὀδύνης ἐλεύ-
θερον τὸ γένος τῶν ἀνθρώπων, τὴν ἐξ ἀρχῆς
εὐκληρίαν ἀπολαμβανούσης τῆς φύσεως.
μηδενὶ τῶν ἐμπεφυκότων τοῖς ὑπὸ
γένεσιν καὶ φθορὰν γνωρισμάτων μολυ-
νομένην. διὰ τοῦτο ὁ θεὸς ὑπάρχων τέλειος
κατὰ φύσιν ὁ τοῦ θεοῦ λόγος. γίνεται τέλειος
ἄνθρωπος ἐκ ψυχῆς νοερᾶς καὶ σώματος πα-
θητοῦ κατὰ φύσιν παραπλησίως ἡμῖν.
χωρὶς μόνης ἁμαρτίας συνεστώς·
τὴν μὲν ἐκ τῆς παραβάσεως ἡδονήν.
οὐδαμῶς τὸ σύνολον ἐσχηκὼς προηγου-
μένην αὐτοῦ τῆς ἐκ γυναικὸς ἐν χρόνῳ
γεννήσεως· τὴν δὲ δι᾽ αὐτὴν ὀδύνην ὑπάρ-
χουσαν τέλος τῆς φύσεως. διὰ φιλανθρωπίαν

[Marginal scholia:]

[illegible] φάρμακον πρὸς τῶν
ἀνθρώπων [illegible]
τὸν τοῦ κυρίου πόνον καὶ θάνατον [illegible]
[illegible]
[illegible] ζωῆς [illegible]
[illegible] θάνατον [illegible]
αὐτοῦ [illegible]
[illegible] ἡδονὴν καὶ θάνατον [illegible]
[illegible]
ἡμῶν ἐξ ἡδονῆς [illegible]
[illegible] ζωῆς θάνατον [illegible]
[illegible]
[illegible]
[illegible] χρονικὴν
[illegible] ἀλλὰ [illegible]
[illegible]

Ὅτι πάντων τέλος [illegible]
τῆς φύσεως [illegible]
[illegible] ἡδονῆς [illegible]
[illegible] ὀδύνης [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] φύσεως [illegible]
[illegible] ὀδύνην
[illegible] αὐτ[illegible]
[illegible]
[illegible]
ἀρχὴν [illegible]
μηκα [illegible]

κατὰ ἄθλησιν προσηκάμενος· ἵνα ὡσ-
σχῶμεν ἀδίκως. ἀμέλει τὴν ἐξ ἡδονῆς
ἀδίκου τυραννοῦσαν τὴν φύσιν ἀρχὴν
τῆς γεννήσεως· οὐκ ἔχουσαν ὡς χρέος
ὑπὲρ αὐτῆς ἐκτιννύμενον κατὰ τοῖς
ἄλλοις ἀνοις καὶ τοῦ κυ τὸν θάνατον,
ἀλλὰ μᾶλλον κατ' αὐτῆς προκεκλημέ-
νον· καὶ τὸ διὰ τοῦ θανάτου δίκαιον
τέλος ἐξαφανίσῃ τῆς φύσεως, οὐκ ἔ-
χων τὴν δι' ἣν ἐτέθη· καὶ ὑπ' αὐτοῦ
δικαίως τιμωρουμένων ὡς αἰτίαν τοῦ
φῦναι παράνομον ἡδονήν· ἔδει γὰρ
ὡς ἀληθῶς ἔλεος σοφόν τε καὶ δίκαιον καὶ
δυνατὸν ὄντα κατὰ φύσιν τὸν κν̄.
ὡς μὲν σοφὸν μὴ ἀγνοῆσαι τὸν τρόπον
τῆς ἰατρείας· ὡς δίκαιον δέ, μὴ τυραν-
νικὴν ποιήσασθαι τοῦ κατειλημμέ-
νου κατὰ γνώμην ὑπὸ τῆς ἁμαρτίας
ἀνθρώπου τὴν σωτηρίαν· ὡς δὲ πάντα
δυνάμενον, μὴ ἀτονῆσαι πρὸς τὴν
τῆς ἰατρείας ἐκπλήρωσιν. φανερὸν
οὖν ἐποίησεν· τὸν μὲν τῆς σοφίας λό-
γον, ἐν τῷ τρόπῳ τῆς ἰατρείας χω-
ρὶς τροπῆς καὶ τῆς οἱασοῦν ἀλλοιώσεως
γενόμενος ἄνθρωπος· τὴν ἰσότη-
τα δὲ τῆς δικαιοσύνης. ἐν τῷ μεθόδῳ
τῆς συγκαταβάσεως ἔδειξεν τὸ ὕψος

[illegible]

παθεῖ τὸ κατάκριμα τῆς φύσεως καταδέ-
ξηται ὑπὲρ ἡμῶν· καὶ ἧς ἐποιήσατο ὅλον
πρὸς τὴν τῆς ἁμαρτίας ἀφαίρεσιν· καὶ τοῦ
δι' αὐτὴν θανάτου· τοῦ τέως ἐπὶ τῆς ἡδονῆς
καὶ τῆς δι' αὐτὴν ὀδύνης· ἐν ᾧ τῆς ἁμαρτίας
ἴσχυεν καὶ τοῦ θανάτου τὸ κράτος·
καὶ τὸ κατὰ τὴν ἡδονὴν τῆς ἁμαρτίας
τυραννίς· καὶ τὸ δι' αὐτὴν κατὰ τὴν ὀδύ-
νην τοῦ θανάτου δυναστεῦσαι: Ἔδει γὰρ
τῷ πάθει τῷ προσδέξασθαι ὑπάρξαι τῆς
φύσεως, τὸ τῆς ἡδονῆς κράτος καὶ τὸ
τῆς ὀδύνης· [illegible] τὸ γὰρ ἐκφυγεῖν τὴν
κατὰ τὴν ὀδύνην ἐπίπονον αἴσθησιν·
πρὸς τὴν ἡδονὴν καταφεύγομεν τοῦ-
τῆς ὀδύνης αἰκισμοῦ πιεζόμενοι τὴν
φύσιν· ἐπιχειροῦντες παραμυθεῖσθαι· ποθοῦν-
δον τε δὲ διὰ τῆς ἡδονῆς τὰ τῆς ὀδύ-
νης ἀμείλικτα κινήματα, ἐπὶ πλεῖον αὐ-
τῆς τὸ καθ' ἑαυτῶν ἐπικυροῦμεν χειρό-
γραφον· ὅθεν καὶ πάντες ἀπολελυμέ-
νην ἔχειν τὴν ἡδονὴν οὐ δυνάμενοι:
τὴν δὲ τῆς ὑπερβαλλούσης δυνάμεως
ἰσχὺν δεῖξαι κατ' ἐκεῖνον, τῶν οἷον αὐτὸς
ἔπαθεν ἐναντίων. ὑπεισῆλθε τῇ
φύσει τὴν γένεσιν ἀτρέπτως· διὰ πάθους
γὰρ τὴν ἀπάθειαν· καὶ διὰ πόνου τὴν ἄνεσιν·

σχό(λιον) τῷ πάθει τῷ δηλονότι τοῦ βίου.

... ὀδύνην πλέον τοῦ βίου ἐπὶ τινὸς ... ἡδονὴν αὐτὴν ... μόνως ...

τὸ ... τῶν ... ὀδύνην ... σον. ... ὅμοιον ... τοῦ βίου ... μάτων ... θανάτου ...

καὶ διὰ θανάτου τὴν ἀΐδιον ζωὴν τῇ φύ-
σει δούς. πάλιν αὐτὸς κατεδίκασεν· τοῖς ἑαυ-
τοῦ κατὰ σάρκα καὶ παθήμασιν. τοῖς δ' ἐξ ὅσ ἁμαρ-
τίας καινίσας τῆς φύ[illegible]σεως· διὰ τῆς ἰδίας
σαρκώσεως. τὴν ὑπὲρ φύσιν χάριν δω-
ρησάμενος τῇ φύσει τὴν θέωσιν :
Γενόμενος οὖν ὁ θεὸς κατὰ ἀλήθειαν ἄνθρωπος· ἐδί-
δωκεν ἄλλην ἀρχὴν τῇ φύσει δευτέρας
γενέσεως. διὰ πόνου προσηκόντως μελλού-
σης ζωῆς καταλήγουσαν· ὡς γὰρ ἀδὰμ ὁ
προπάτωρ τὴν ἐντολὴν παρα-
βάς. ἄλλην ἀρχὴν γενέσεως ἐξ ἡδονῆς
μὲν συνισταμένην. τὸ δὲ τὸν διὰ πόνον
θάνατον τελευτῶσαν τῇ φύσει παρ' αὐτὴν
πρὸς τὴν παράβασιν γέγονεν. καὶ ἐπενόησεν
κατὰ τὴν συμβουλὴν τοῦ ὄφεως ἡδο-
νὴν οὐκ οὖσαν προλαβόντος πόνου
διάδοχον. ἀλλὰ μᾶλλον εἰς πόνον περαι-
ουμένην. πάντας τοὺς ἐξ αὐτοῦ σαρκὶ
κατ' αὐτὸν γεννωμένους διὰ τὴν ἐξ ἡδο-
νῆς ἄδικον ἀρχὴν ἔχειν συνυπαγομέ-
νους αὐτῷ δικαίως πρὸς τὸ διὰ πόνου
κατὰ τὸν θάνατον τέλος. οὕτως καὶ
ὁ κύριος γενόμενος ἄνθρωπος καὶ ἄλλην ἀρχὴν
δευτέρας γενέσεως ἐκ πνεύματος ἁγίου τῇ φύσει
δημιουργήσας. καὶ τὸν διὰ πόνου τοῦ ἀδὰμ
δικαιότατον καταδεξάμενος θάνατον.

ἐν αὐτῷ δηλαδὴ γενόμενον ἀδικώτατον, ὡς
οὐκ ἔχοντα τῆς διὰ γεννήσεως ἀρχὴν τὴν
ἐκ παρακοῆς ἀδικωτάτην τοῦ προπά-
τορος ἡδονήν. ἀμφοτέρων τῶν ἄκρων
ἀρχῆς τέ φημι καὶ τέλους τῆς κατὰ τὸν
ἀδὰμ ἀνθρωπίνης γενέσεως, ὡς ἀδικίας
προηγουμένης οὐκ ὄντων ἐκ θεοῦ τὴν
ἀναίρεσιν ἐποιήσατο. καὶ πάντας τοὺς
ἐξ αὐτοῦ πνευματικῶς ἀναγεννωμένους,
τῆς ἐπ' αὐτοῖς ἐνοχῆς ἐλευθέρους κατέ-
στησεν· ἔχοντας μὲν τοῦ ἀδὰμ, οὐκέτι
τὴν ἐκ τοῦ ἀδὰμ ἡδονὴν τῆς γενέσεως.
μόνην δὲ τὴν διὰ τὸν ἀδὰμ ὀδύνην ἐνερ-
γοῦσαν ἐν αὐτοῖς οὐ κατὰ χρέος ὑπὲρ ἁμαρ-
τίας. ἀλλὰ κατ' οἰκονομίαν διὰ τὴν κατὰ
φύσιν περίστασιν κατὰ τῆς ἁμαρτίας
τὸν θάνατον· ὅς, ὅταν μὴ ἔχῃ γεννῶ-
σαν αὐτὸν μητέρα, τὴν ἡδονήν, ἧς γίνεσθαι πέφυκε
τιμωρὸς ἡδονήν. ἀϊδίου ζωῆς προδή-
λως καθίσταται πατήρ· ὥσπερ γὰρ ἡ τοῦ ἀδὰμ
ἡ καθ' ἡδονὴν ζωή, θανάτου καὶ φθορᾶς
γέγονεν μήτηρ. οὕτως καὶ ὁ διὰ τὸν ἀδὰμ τοῦ
κυρίου θάνατος. ὑπάρχων τῆς ἐκ τοῦ ἀδὰμ
ἐλεύθερος ἡδονῆς. ἀϊδίου γεννήτωρ γίνε-
ται ζωῆς·: οὐκοῦν ἔοικε δὴ καθὼς οἶμαι
καλῶς διεξελθεῖν ὁ λόγος· πῶς μὲν ἡ καθ' ἡδονὴν
ἐκ τοῦ ἀδὰμ γένεσις τυραννοῦσα τὴν φύσιν

σχό(λιον)
ὅτι τὴν ἐκ τοῦ [illegible]
ἡδονήν. εἰς [illegible]
[illegible] ἑαυτῷ [illegible]
[illegible]
[illegible] εἰς κατ[illegible]
τὸ προόντα τῆς φ[illegible]
[illegible] τὴν τῆς ἁμαρτίας κα[illegible]
σιν. αὐτοῖς συγχω[illegible]
[illegible] :-

ὁ θάνατος [illegible]

κηρὰν τοῦ δι' αὐτὴν θανάτου παρέχειν
τῶν. πῶς δὲ πάλιν καὶ δι' αὐ φιλανθρω-
πίαν κατὰ σάρκα τοῦ κῦ γενομένοις.
ἀμφοτέρων ἂν εἴη ἐστιν ὅσοι καὶ σ αυτο
κ-λονηὸς μετὰ τῆς ἐκ τοῦ ἀδὰμ θε-
ν αὐτοῦ τοῦ δι' αὐτὸν ἀδάμ. σὺν δὲ ἀφανί-
σας οὐ τῇ τοῦ ἀδὰμ ἁμαρτίᾳ τὸ τοῦ
ἀδὰμ ἐπιτίμιον. οὐ γὰρ κἂν δυνατὸν
πρὸς φθορὰν ἀπαθῶς καὶ δι' ἀθανάτου
κατ' αὐτὸ τὸ τέλος τὴν μὴ δειμαῖς τῆς
ἀρχῆς ἀπολαμβάνειν κεκτημένη ἰσχὺν
κατὰ τὸ τέλος ὁ θάνατος. ἐστι δὲ
ταῦτα δι' ἃ ... ἀλλήλων ὁ λό-
γος. ἕως ὅτε μόνα τὰ τοῦ ἀδὰμ
κατὰ τὸ τὴν ἀρχὴν καὶ τὸ τέλος.
φημὶ δὲ τὰ κατὰ τὴν γένεσιν καὶ τὴν
φθορὰν γνωρίσματα τυραννικῶς
ἐκράτει τῆς φύσεως. οὐκ ἦν καιρὸς
τοῦ ἄρξασθαι τὸ κρῖμα πρὸς τέλος ἂν
τῆς ἁμαρτίας κατάκρισιν. ὅτε δὲ
διὰ σαρκὸς ἡμῖν ἐπεφάνη γενόμενος
τέλειος ἄνθρωπος χωρὶς μόνης ἁμαρτίας
ὁ τοῦ θῦ λόγος. μόνον ἔχων ἐν τῇ σαρ-
κὶ τοῦ ἀδὰμ φύσει κατὰ θέλησιν τὸ
ἐπιτίμιον. καὶ κατέκρινεν τὴν ἁμαρ-
τίαν ἐν τῇ σαρκὶ ἀνθρωπίνως πάσχων

[illegible]

ὑπὲρ ἀδικίας ὁ δίκαιος, ἵν' ἀντιστρέψῃ
τὴν χρῆσιν τοῦ θανάτου· κατάκριμα
τῆς ἁμαρτίας αὐτὸν ἀπεργασάμε-
νος, ἀλλ' οὐ τῆς φύσεως· γέγονε γὰρ καιρὸς
τοῦ ἄρξασθαι τὸ κρίμα κατὰ τὴν ἀντι-
στροφὴν τοῦ θανάτου πρὸς τὴν τῆς
ἁμαρτίας κατάκρισιν· ὅπερ ἐστί.
ἐπεὶ τὸν ἀδὰμ ἡ ἁμαρτία κατ' ἀρχὰς
δελεάσασα πρὸς παράβασιν ἔπεισεν
τῆς θείας παρ' ἐκείνου ἐντολῆς· καθ' ἣν
τὴν ἡδονὴν ὑποστήσασα, καὶ ἑαυτὴν
διὰ τῆς ἡδονῆς ἐν αὐτῷ καθηλώσασα
τῷ πυθμένι τῆς φύσεως, τὸν θάνατον
τῆς ὅλης κατέκρινε φύσεως· ὠθοῦ-
σα πρὸς ἀπογένεσιν κατὰ τὸν θάνατον
διὰ τοῦ ἀνθρώπου, τὴν φύσιν τῶν γεγονότων.
τοῦτο γὰρ καὶ ἐμεμηχάνητο τῷ σπορεῖ
τῆς ἁμαρτίας καὶ πατρὶ τῆς κακίας
πονηρῷ διαβόλῳ· τῷ ἑαυτὸν μὲν δι' ὑ-
περηφανίας τῆς θείας ἐξοικίσαντι
δόξης. διὰ φθόνον δὲ τὸν πρὸς ἡ-
μᾶς καὶ τὸν θεὸν, τοῦ παραδείσου τὸν ἀδὰμ
ἐξορίσαντι· ἀφανίσαι τὰ ἔργα τοῦ θεοῦ.
καὶ διαλῦσαι τὰ συστάντα πρὸς γένεσιν·
φθονεῖ γὰρ οὐ μόνον ἡμῖν ὁ μιαρώτατος
τῆς ἐκ τοῦ θεοῦ διὰ τὴν ἀρετὴν δόξης.
ἀλλὰ καὶ τῷ θεῷ τῆς ἐφ' ἡμῖν διὰ τὴν ὑμνουμένην

[Marginal note:] σχ. τῆς [illegible] τῷ μὲν [illegible] νοῦ βίου προσδοκ[illegible] [illegible] κατὰ τὸν τὸν ἄνθρωπον:–

ὅτι φθονῶν ὁ διάβολος τῷ θεῷ καὶ ἡμῖν [illegible] [illegible] [illegible] πείσας, πα[illegible] [illegible] [illegible] [illegible] [illegible] τὸν ἄνθρωπον. [illegible] [illegible] [illegible] καὶ τῆς [illegible] δόξαν

παρυμμένη τοῦ δικαιώματος : πάλιν οὖν
ἐκράτει δυναστεύων τῆς φύσεως. ὁ διὰ τὴν
παράβασιν θάνατος. τοῦ κράτους ἔχων
ὑπόθεσιν. τὴν ἐκ τῆς παρακοῆς ἀρξα-
σαν τῆς κατ᾽ αὐτὴν φύσιν ὁ μὲν γενέ-
σεως ἡδονήν. δι᾽ ἣν αὐτὸς ὁ
θάνατος κατεκρίθη τῆς
φύσεως· ὁ δὲ κύριος γενόμενος ἄνθρωπος καὶ μὴ
λαβὼν προκαθηγουμένην αὐτοῦ τῆς
κατὰ σάρκα γεννήσεως τὴν ἄδικον
ἡδονήν. δι᾽ ἣν καὶ δι᾽ αὐτοῦ θανάτου κατὰ
τῆς φύσεως ἐξ ἐκείνης ἐχώρει ἡ δίκαια κατά-
κρισις. αὐτὸν δὲ καταδέξασθαι θέλων ἐν
τῷ παθητῷ τῆς φύσεως καταδε-
ξάμενος τὸν θάνατον. μᾶλλον ὅτι
πάσχων, τὴν τοῦ θανάτου χρῆσιν
ἀντέστρεψεν· οὐ κεομ[illegible] γενόμενον ἐν αὐ-
τῷ τῆς φύσεως, ἀλλὰ τῆς ἁμαρτί-
ας προδήλως κατάκρισιν· οὐ γὰρ
ἦν δίκαιον εἶναι τὸν θάνατον ἐπὶ τοῦ
μὴ τὴν γένεσιν ἐξ ἡδονῆς ἐσχηκότι
κατάκρισιν φύσεως. ἀλλὰ τῆς τοῦ
προπάτορος ἁμαρτίας ἀναίρεσιν.
δι᾽ ἣν ὁ τοῦ θανάτου φόνος, ὁ μὲν ἐκρά-
τει τῆς φύσεως· ὁ γὰρ ἐπὶ τοῦ Ἀδάμ,
ὁ θάνατος τῆς φύσεως ὑπῆρχε κατά-
κρισις. ἀρχὴν ἔχουσα τὴν ἡδονήν

τῆς ἁμαρτίας γενόμενος. εἰκότως ὁ θάνατος
ἐν Χριστῷ τῆς ἁμαρτίας κατάκρισις γέγο-
νεν· ἡδονῆς καθαρὰν ἐν Χριστῷ πάλιν
τῆς φύσεως ἀπολαμβανούσης τὴν γένεσιν·
ἵνα ὥσπερ κατέκρινεν εἰς φθο-
ρὰν ἐν τῷ Ἀδὰμ κατὰ τὴν ἡδονὴν
ἡ ἁμαρτία διὰ τοῦ θανάτου τὴν φύ-
σιν· καὶ γέγονεν καιρὸς τοῦ κατακρι-
θῆναι θανάτῳ τὴν φύσιν διὰ τὴν ἁ-
μαρτίαν· οὕτως ἐν Χριστῷ κατὰ τὴν
δικαιοσύνην ἡ φύσις διὰ τοῦ θανάτου
κατέκρινεν τὴν ἁμαρτίαν, καὶ
γένηται καιρὸς τοῦ κατακριθῆναι
θανάτῳ τὴν ἁμαρτίαν διὰ τὴν
δικαιοσύνην τῆς φύσεως· ἐκλυσα-
μένης ἐν Χριστῷ παντελῶς τὴν ἐξ ἡ-
δονῆς γένεσιν· καθ' ἣν ἀναγκαίως
τοῖς πᾶσιν ὡς χρέος ὁ τῆς κατα-
κρίσεως παρείπετο θάνατος·
ὥστε τὸν αὐτὸν θάνατον· ἐν μὲν τῷ Ἀδὰμ
διὰ τὴν ἁμαρτίαν· κατάκρισιν ὑπάρ-
χειν τῆς φύσεως· ἐν δὲ τῷ Χριστῷ διὰ τὴν
δικαιοσύνην· κατάκρισιν ὑπάρχειν
τῆς ἁμαρτίας· ὁ γὰρ πάσχων δι' ἁ-
μαρτίαν ἴσως κατάκρισιν τῆς φύσεως·
δικαίως ὑπομένει τὸν θάνατον· ὁ δὲ
μὴ πάσχων δι' ἁμαρτίαν· ὡς χάριν μᾶλλον

κατ' οἰκονομίαν τὴν φύσιν διδούς· ἤγουν κατά-
κρισιν τῆς ἁμαρτίας, τὴν διὰ τὴν ἁμαρ-
τίαν, ἤγουν αὐτῆς ἀναίρεσιν [illegible]
καταλέγεται θάνατον. οὐκοῦν
ὁ μὲν δι' ἑαυτὸν ἀδάμ, τὸν ὑποστήσαντα
διὰ τῆς παρακοῆς τὸν καθ' ἡδονὴν
τῆς γενέσεως νόμον· ὁ δὲ τὸν δι' αὐτὸν κατα-
κριθέντα τῆς φύσεως θάνατον. πάν-
τες οἱ ἐκ τοῦ ἀδὰμ τὸ εἶναι λαβόντες
κατὰ τὴν ἐξ ἡδονῆς τῆς γενέσεως
νόμον. εἶχον ἀναγκαίως ἐπικαυχό-
μενοι συνεζευγμένον κατὰ δύναμιν
τῇ γενέσει καὶ τὸν κατακριθέντα τῆς
φύσεως θάνατον. καὶ νῦν καιρὸς
τοῦ κατακρίνεσθαι τὴν φύσιν ὑπὸ
τῆς ἁμαρτίας. ἐφόσον ἐκράτει τῆς
φύσεως ὁ τῆς καθ' ἡδονὴν τῆς γε-
νέσεως νόμος. οὕτως διὰ τὸν χ(ριστὸ)ν
τὸν παντελῶς ἀφελόμενον τῆς φύ-
σεως τὸν καθ' ἡδονὴν τῆς γενέσεως
νόμον. καὶ τοῦ δι' αὐτὸν κατακρι-
θέντος τῆς φύσεως θανάτου τὴν
χρῆσιν, ἤγουν μόνην τὴν τῆς ἁμαρτί-
ας κατάκρισιν κατὰ λῆξιν καταδεξά-
μενον. πάντες οἱ ἀπὸ χ(ριστο)ῦ κατὰ θέσιν
τὴν διὰ λουτροῦ παλιγγενεσίας ἀναγεννη-

θεῖτες. καὶ τὴν καθ᾽ ἡδονὴν σπο-
ρὰν τοῦ ἀδὰμ διὰ τῆς χάριτος
ἀποθέμενοι γέννησιν. καὶ τὴν ἐν τῷ
καταπτώματι χάριν διὰ τῆς ἀναμαρ-
τησίας καὶ τῆς ἐν τῷ μυστικῆς υἱο-
θεσίας τὴν δυνάμει [illegible]
χραντον διὰ τοῦ νόμου τῶν ἐξ ἀρχῆς
καὶ φυλάξαντες ἐν τῷ λοιπῷ. εἰκότως
οὖν τῆς ἁμαρτίας κατάκρισιν ἐ-
χούσης τὴν τοῦ θανάτου χρῆσιν ἐνερ-
γουμένην. καιρὸν λαβὼν τὸ κατακρι-
νεῖν ἐν τῇ σαρκὶ τὴν ἁμαρτίαν. γενι-
κῶς μὲν καταφθείρων χάριτι διὰ τὸ
μέγα μυστήριον τῆς ἐνανθρωπήσεως.
τὸν αὐτὸν τῆς τοῦ λόγου σαρκώσεως
χρόνον. ἰδικῶς δὲ, καθ᾽ ἕνα ἕκαστον
χάριτι. τὸν ἀφ᾽ οὗ δι᾽ αὐτοῦ βαπτίσματος
ἐλάβομεν ἕκαστος τὴν χάριν τῆς υἱο-
θεσίας. καὶ τὴν ἐν ἐνεργουμένην τῷ
ἐν [illegible] καθ᾽ ὁμοίωσιν τὴν ἐν ἀρ-
γένεσιν ἔχοντες. διὰ πολλῶν καλῶν μέ-
τρον ἐξῆς κατάκρισιν τῆς ἁμαρτίας
ὑπομένουσιν τὴν τοῦ θανάτου χρῆ-
σιν αὐτοῖς ἐσομένην. ὁ γὰρ δι᾽ ἁ-
μαρτίαν ὁ καταποθεὶς φυλάξας τὸ
κατάπτωμα τῆς ἐν τοῖς κρατουμένοις

Ὅτι τριχῶς καταχρῆται ὁ θεῖος ἀπόστολος τῷ τοῦ νόμου ὀνόματι [illegible] καὶ ἀλλ[illegible] [illegible] τοῦ [illegible] κρι[illegible] καὶ τοῦ κατ[illegible]

ὡς χρέος ὑπὲρ ἁμαρτίας καταδεξάμενος
τὸν θάνατον. ἀλλ' ὡς κατάκρισιν τῆς
ἁμαρτίας τὴν αὐτοῦ καταδέξασθαι κρί-
σιν· πρὸς τὴν θείαν καὶ ἀκήρατον
ζωὴν μυστικῶς αὐτὸν παραπέμπου-
σαν· ἐπειδὴ γὰρ ἀληθείας ἐν ἐκείνῳ καὶ δι-
καιοσύνης διὰ τὸ πολλῶν ἁμαρτημάτων
γενομένης τὸν τῆς παρούσης
ζωῆς πεπληρώκασιν δρόμον
οἱ ἅγιοι τῆς δι' αὐτὴν ἁμαρτίαν κατακρί-
σεως τοῦ θανάτου τὴν φύσιν ἐν ἑαυτοῖς
ἐλευθερώσαντες. καὶ τὸ πρὸς ἀναίρε-
σιν τῆς φύσεως ὅπλον τοῦ θανάτου.
πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας κατὰ
τὸν ἀρχηγὸν τῆς αὐτῶν σωτηρίας
Ἰησοῦν ποιησάμενοι. ὥσπερ ἡ ἁμαρτία
πρὸς ἀναίρεσιν φύσεως ὅπλον ἐν τοῖς
αὐτὴν κατὰ τὸν Ἀδὰμ ἐνεργοῦσιν εἶχεν
τὸν θάνατον. πολλῷ μᾶλλον ἐν τοῖς ἐνερ-
γοῦσι τὴν διὰ πίστεως ἐν Χριστῷ δικαιοσύνην.
ὅπλον ἔχει τὸν θάνατον πρὸς ἀναίρε-
σιν τῆς ἁμαρτίας ἡ φύσις. οὐκοῦν ἀφ' οὗ
γέγονεν τὸ μυστήριον τῆς ἐνανθρωπή-
σεως, καὶ ἐξήλλαχεν πάμπαν ὁ σαρκωθεὶς
θεὸς ἐν τοῖς κατ' αὐτὸν πνευματικῶς γεννωμένοις
τὴν τοῦ καθ' ἡδονὴν κληρονόμου τῆς φύσεως γένεσιν.

καιρὸς ὡς ἔφημεν λεγόμενον τοῦ ἄρξασθαι
τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ τουτέστιν.
κατακριθῆναι τὴν ἁμαρτίαν τὴν
τοῦ κατακρίνεσθαι διὰ παθημάτων.
μαινοῦσαν ἀρχήν. ἀπὸ τῶν ποιητῶν
καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν. καὶ
τὴν καθ᾽ ὃ λόγον ἣν διὰ τοῦ καταστήμα
τος γένεσιν ἀποτεθειμένον· τοῦτο γὰρ
ἐκάλεσεν οἶκον θεοῦ καθὼς μαρτυρεῖ
φάσκων ὁ θεῖος ἀπόστολος παῦλος·
χριστὸς δὲ ἐπὶ τὸν οἶκον αὐτοῦ οὗ οἶκος ἐσμὲν
ἡμεῖς· καὶ αὐτὸς δὲ διὰ τοῦ ἑξῆς λόγου
παρίστησιν λέγων πέτρος ὁ κορυφαῖος
τῶν ἀποστόλων· εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν
ἤρξατο· δηλονότι τὸ κρίμα. τί τὸ τέλος
τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ.
ὡσανεὶ ἔλεγεν· εἰ κρινόμενος ὁ οἶκος τοῦ θεοῦ γενέ
σθαι χάριτι διὰ τοῦ ἀξιωθῆναι τοσαύ
την ὑπὲρ δικαιοσύνης κατάκρισιν
τῆς ἁμαρτίας ὑπομονὴν ἐπιδείκνυσθαι
παθημάτων ὀφειλόμενον. καὶ ὡς κακοῦρ
γοι τὸν ἐφήμερον ἀγαθοὶ τυγχάνοντες
προθύμως ἀποφέρεσθαι θάνατον. τί
τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐαγγε
λίῳ. τουτέστιν. ποῖον ἔσται τὸ τέλος ἤτοι
ἡ κρίσις τῶν οὐ μόνον ζῶσαν τὴν ἐπι
γνωμένων κατὰ τεχνίτας καὶ σωματικῶς γραφομένης

φύσεως ἡμῶν καὶ τὴν δουλείαν τοῦ ἀδὰμ κρατή-
σασαν τῆς φύσεως τοῦ γένους ἡμῶν μέχρι τέ-
λους διὰ τοῦ υἱοῦ ἐσχηκότων. ἀλλ' ἀμέλει τε
προσδέξασθαι [illegible] παρακαλοῦντα τοῦ
θεοῦ καὶ πατρὸς διὰ υἱοῦ σαρκωθέντος. μέ-
τ' ἐμὴν αὐτὸν τὸν ὑπὲρ τοῦ πατρὸς παρρη-
σιαζόμενον μεσίτην καὶ υἱὸν καὶ ὑπὲρ τῆς ἡμῶν πρὸς
τὸν πατέρα καταλλαγῆς ἑαυτὸν οὐ χεί-
ρονα τοῦ πατρὸς ὑπὲρ ἡμῶν θάνατον
καταδέξασθαι προελόμενον. ὅπως
δι' ἑαυτὸν ἡμᾶς τοσοῦτον δοξάσῃ
τοῦ κόσμου καταφανῶς τῆς οἰ-
κείας θεότητος. ὅσον δι' ἡμᾶς
αὐτὸς κατεδέξατο ταῖς ἡμῶν
ἀτιμωθῆναι παθήμασι. τοῦτο
γὰρ ὡς οἶμαι τυγχάνει τὸ τοῦ θεοῦ
εὐαγγέλιον. πρεσβεία θεοῦ καὶ παράκλη-
σις πρὸς ἀνθρώπους διὰ υἱοῦ σαρκωθέντος.
καὶ τῆς πρὸς τὸν πατέρα καταλλαγῆς
μισθὸν δωρουμένου τοῖς πειθομένοις
αὐτῷ τὴν ἀΐδιον θέωσιν. διὸ σχετλι-
άζων τοῖς ἐφεξῆς τοῖς ἀπειθέσιν ὁ μέγας
ἀπόστολος φησίν. καὶ εἰ ὁ δίκαιος μόλις
σώζεται. ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ
φανεῖται; δίκαιον λέγων ὡς εἰκὸς
τὸν πιστὸν καὶ φύλακα τῆς δοθείσης
κατὰ τὸ [illegible] χάριτος καὶ διὰ

ὅτι [illegible] καὶ [illegible] θεότητι [illegible] ἀλλ' [illegible] ἐν τοῖς [illegible]

[illegible]

πολλῶν παθημάτων ἀκαθαίρετον
διατετηρηκότα τὴν διὰ τοῦ πνς υἱο-
θεσίαν· σωτηρίαν δέ, τὴν ἐκ θεοῦ τοῖς
ἀξίοις δοθησομένην πληρεστάτην
τῆς θεώσεως χάριν, ἧς μόλις ἐστὶ
τεύξεσθαι, καὶ ὁ κατ' ἄκρον πάντων
τῶν παθῶν ἀνεκτικός· ἀσεβῆ δὲ ἴσως
ἁμαρτωλόν· τὸν τῆς εὐαγγελικῆς ἀλλό-
τριον χάριτος· ἀσεβῆ μέν· διὰ τὴν εἰς
Χριστὸν ἀπιστίαν· ἁμαρτωλὸν δέ, διὰ τὴν
ζῶσαν ἐν αὐτῷ κατὰ τὴν φθο-
ρὰν τῶν παθημάτων τῆς παλαιό-
τητος συγγένειαν· ἢ τυχὸν ἀσεβῆ μὲν ἐκά-
λεσεν ὁ λόγος· τὸν μόνης παντελῶς
ἐστερημένον τῆς κατὰ Χριστὸν ἐπιγνώσεως·
ἁμαρτωλὸν δέ· τὸν πιστὸν μέν· παρα-
βάτην δὲ κατ' ἔργον τῶν εὐαγγελικῶν
ἐντολῶν· τὸν καθαρὸν διατηρήσαντα
τὸν διὰ τοῦ ἁγίου βαπτίσματος χιτῶ-
να τῆς ἀφθαρσίας· ὧν, ἡ θέσις
τοῦ ἀσεβοῦς τέ φημι καὶ ἁμαρτωλοῦ,
τοῖς ἐπιμεμφομένοις τῆς μυστικῆς
προσόδου καταλήψεται γνώσεως· τὸ
γὰρ ποῦ· θέσιν δηλοῖ σαφῶς· τοπι-
κῆς οὐκ ἀμοιροῦσαν περιγραφῆς·
ἧς, ἡ περὶ τοῦ δικαίου θέσις ἀντιδιαιρεῖται.

τὴν μάλιστα
τὴν τελείαν.

εἰς τοὺς αὐτοὺς.
ἐπὶ μικρὸν [illegible]

οὐκ ἔσται τοῦ παντὸς κατὰ τὴν θέ-
σιν ὁ δίκαιος· τὴν ὑπὲρ τὸ πᾶν οὖν κατὰ
τὴν χάριν θέσιν εἰληφὼς αὐτὸν
τὸν θεὸν ὡς καὶ ὑπόσχεσιν· ὁ γὰρ θεὸς οὐ
τοῦ· ἀλλὰ πάντως ἀσχέτως ἐκεί-
νου· ἐν ᾧ πάντων τῶν σωζομέ-
νων καὶ ἡ ἀριστεία κατὰ τὸ γεγραμμέ-
νον· γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν καὶ
εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· οὕτι μος
ποθῶ. ὁ μὲν καθ' ὅτι οὖν μετέχων τῆς
τοῦ ἀγαθοῦ κατὰ τὴν σχέσιν δυνάμεως·
μετὰ σώματος ἐοικὼς ἐστὶ πάντων
ἀμοιροῦντι τῆς κατὰ ψυχὴν ζωτικῆς
ἐνεργείας· καὶ πάλιν· ἐπειδὴ πάντων
τῶν σωζομένων ὁ θεὸς ἐστὶ τόπος ἀπερι-
γραφός τε καὶ ἀδιάστατος καὶ ἄπειρος.
πᾶσιν πάντα γινόμενος κατὰ τὴν
ἀναλογίαν τῆς δικαιοσύνης. μᾶλλον δὲ
κατὰ τὸ μέτρον τῶν ἡμετέρων σχέσεως
ὑπὲρ δικαιοσύνης ἐνταῦθα παθημά-
των ἑαυτὸν ἑκάστῳ δωρούμενος.
καθάπερ ψυχὴ σώματος μέλεσιν κατὰ
τὴν ὑποκειμένην ἑκάστου μέλους δύνα-
μιν ἑαυτὴν ἐνεργοῦσαν ἐκφαίνουσα,
καὶ πρὸς τὸ εἶναι δι' ἑαυτῆς τὰ μέλη συνέ-
χουσα πρὸς ζωὴν συγκρατούμενα. ὁ
ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται ταύτης

[illegible marginal scholia at top of page] 199

ὑστερημένος τῆς χάριτος· ὁ γὰρ μὴ δυ-
νάμενος εὑρουμένην τὴν κατὰ
τὸ εἶναι τοῦ θεοῦ δοξασθεῖσαν παρουσίαν,
ποῦ φανεῖται τῆς θείας ζωῆς, τὴν
ὑπὲρ αἰῶνα καὶ χρόνον· καὶ τόπον
ὑποσχομένης τὴν ἔκφανσιν· οὐκοῦν
εἰ τὸ κατὰ τὴν πρώτην ἐσομένην κατα-
φατικῶς· ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς
ποῦ φανεῖται, περιγεγραμμένης οὐ-
κέτι ζωῆς τὸ παράπαν ἐλευθέρας
τὴν πᾶσαν διαφεύγουσαν περιγρα-
φὴν καὶ παντὸς ἐπέκεινα τόπου
ζωὴν οὐκ ἔχων. εἰ τὸ κατὰ τὴν δευτέ-
ραν ἀποφατικῶς· οὐ φανεῖται.
τὸν θεὸν οὐκ ἔχων πρὸς τὸ εὖ εἶναι συνέ-
χοντα τὴν ζωήν, τὸν μέλλοντα πᾶσιν
γίνεσθαι τόπον τοῖς ἀξίοις· πῶς δ' ἔσται
τόπον αὐτὸν οὐκ ἔχων τὸν θεὸν κατὰ
τὴν τοῦ εὖ εἶναι ἐφετὸν μονὴν ὡς τὸ ἵδρυ-
σιν· καὶ ἀπολωλὼς ἐστίν. εἰ μετὰ πολλῶν
δυσχερειῶν ὁ δίκαιος σώζεται. τί ἔσται
ἢ τί πείσεται· ὁ μηδένα λόγον εὐσεβείας
καὶ ἀρετῆς κατὰ τὴν παροῦσαν
ζωὴν ποιησάμενος· :~

ἐρώτησις ξβ

τί ἐστιν ὃ λέγει Ζαχαρίας ὁ ἅγιος προ-
φήτης· καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ

ἰδοὺ ἐγὼ ὁρῶ δρέπανον πετόμενον
μήκους πηχῶν εἴκοσι· καὶ πλάτος πη-
χῶν δέκα. καὶ εἶπεν πρός με αὕτη
ἐστὶν ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ
πρόσωπον πάσης τῆς γῆς· καὶ μετὰ
λίθα. καὶ ἐξοίσω αὐτὸ λέγει κύριος παν-
τοκράτωρ. καὶ εἰσελεύσεται εἰς τὸν
οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον
τοῦ ὀμνύοντος ἐν τῷ ὀνόματί μου
ἐπὶ ψεύδει. καὶ καταλύσει ἐν μέσῳ τοῦ
οἴκου αὐτοῦ καὶ συντελέσει αὐτόν.
καὶ τὰ ξύλα αὐτοῦ. καὶ τοὺς λίθους αὐτοῦ. Ἐρ(ώτησις):
τί τὸ δρέπανόν ἐστιν καὶ τὸ μέτρον
τοῦ τε μήκους καὶ τοῦ πλάτους. καὶ διὰ
τί πετόμενον. καὶ τίς ὁ κλέπτης
καὶ ἐπίορκος. καὶ τίς ὁ τούτου οἶκος.
τίνα τε τὰ ξύλα. καὶ τίνες οἱ λίθοι:

Ἀπόκρισις:

Ὁ φιλόσοφος θεοῦ ὁ ῥαθυμίας [illegible] ἐθελήθημεν καὶ
ὀψὲ χρόνον προφητῶν [illegible] ἐθέλων τῆς
ἐνσωματ[illegible] τοῦ γεγονότος τῶν ἀνθρώπων διὰ
σαρκὸς αὐτοῦ θαυμαστῆς ἐπιδημίας. τοῖς σημείοις τοῖς διαφόροις κήρυγμα
προκαταγγέλλεται τῆς ἐνανθρωπήσεως
ἄλλην δι' ἄλλου τῶν προφητῶν. ὡς ἕ-
καστος [illegible] χαρίσματος πρὸς [illegible] κρυπτόμε-
νος· οὐ κοινῶς τὸ χάρισμα προφητ[illegible]

ρίαν τῶν οἰκείων ἀγνοούμενος μυστη-
ρίων τὴν μύησιν ποιήσεται· οἱ γὰρ ὑπό τινα νόμον
αὐτὸν πρὸς κατανόησιν τῆς μελλού-
σης αὐτοῦ διὰ σαρκὸς παρουσίας
τὴν δευτέραν ἀνάγοντες ἀρχὴν ἐπαινοῦντες αὐτοῦ κατὰ
τὴν θεωρίαν ὀρθῶς διδάσκουσι·
διδάσκων, ὡς αὐτὸς ἔμελλεν ὁ τοῖς
τύποις ἑαυτὸν ἀναλύσας τοὺς τῶν
προφητῶν ὁρασιμμασμένους διαπλά-
σας τὴν κατ᾽ ἡμετέραν ἐκουσίως κατά-
βασιν ἐπελθεῖν φύσεως ἀνάπλασιν·
ἵνα δείξῃ παρουσίαν τοῖς πράγμασιν.
τὴν προφητείαν διὰ τῶν τύπων
ἀλήθειαν· ἀρχὴν οὖν ἐστιν ὁ κύ-
ριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ λόγος·
ὁ δι᾽ ἑαυτὸν μὲν κατὰ φύσιν ἁπλοῦς
καὶ ἀσύνθετος διαμένων. δι᾽ ἡμᾶς δὲ κατὰ
πρόσληψιν σαρκὸς νοερῶς ἐψυχω-
μένης, ὡς οἶδεν αὐτὸς γενόμενος
καθ᾽ ὑπόστασιν σύνθετος· οὔτε τὴν
κατ᾽ ἄκρον πρὸς τὴν σάρκα καθ᾽ ὑ-
πόστασιν ἕνωσιν τὴν ἀσώματον φύσιν
παραδεχόμενος σύγχυσιν. οὔτε τὴν
κατ᾽ ἄκρον πρὸς τὴν σάρκα κατὰ
τὴν φύσιν διαφορὰν πρὸς τὴν ἀναλ-
λοιούμενος· ἄκρον δέ φημι, τὴν μὲν
καθ᾽ ὑπόστασιν ἕνωσιν, ὡς τὸ παντελὲς

ἀδιαίρετον· τὴν δὲ κατὰ φύσιν δια
φορὰν ἄκρον φημὶ τὸ πάντη μὲν ὡς
ἀσύγχυτον καὶ ἀναλλοίωτον ὅτι μὴ
συνεισάγεται πάντη μὲν τῇ κατὰ φύ
σιν τῶν ἐξ ὧν συνέστηκεν ἑτερότητι.
καὶ τὴν καθ' ὑπόστασιν διαφοράν.
τὸ μυστήριον τῆς θείας σαρκώσεως.
τὸ μὲν, ἵνα μὴ προστεθῇ [illegible] τὸ
τῆς τριάδος μυστήριον· τὸ δὲ ἵνα
μηδὲν [illegible] θεότητι κατὰ φύσιν ὁμο
γενὲς ᾖ ὁμοούσιον: δύο γὰρ φύσεων
πρὸς ὑπόστασιν· ἀλλ' οὐ πρὸς φύσιν μίαν
γεγονυῖαν σύνοδος· ἵνα καὶ τὸ καθ' ὑ
πόστασιν ἓν ἐκ τῶν ἀλλήλοις συνδρα
μουσῶν φύσεων δειχθῇ κατὰ τὴν
ἕνωσιν ἀποτελούμενον. καὶ τὸ διάφο
ρον τῶν συνελθόντων πρὸς τὴν ἀδια
σπαστον ἕνωσιν κατὰ τὴν φυσικὴν
ἰδιότητα σωθῇ· πάσης ἐκτὸς
μένον τροπῆς καὶ συγχύσεως·
εἰ γὰρ πρὸς φύσεως γέγονε τῶν φύ
σεων ἡ γεγονυῖα σύνοδος, ἀδιάγνωστον
ἂν καὶ [illegible] πάντη μὲν τὸ τῆς κενώσεως
σωτηρίας μυστήριον. οὐ κατέχουσιν
πόθεν καὶ πῶς δυνηθεῖημεν μαθεῖν τὴν
πρὸς ἡμᾶς τοῦ θεοῦ συγκατάβασιν. εἰ τὴν
θείαν φύσιν δι' αὐτὴν ἕνωσιν τῆς σαρκὸς

μεταβληθείσης ἢ τῆς θείας ἢ γοῦν τῆς
σαρκὸς οὐσίαν μεταπραθείσης. ἢ ἀμφοῖν
πρὸς ἀλλήλας ἑαυτὰς γοῦν εἰς κατά τινα
μίξιν συμφυρεισῶν. καὶ μὲν δὴ ἑτέρας τῶν
ἐξ ὧν ἐστὶ φύσεων τὸν λόγον ἀλλοιοῦν καὶ τὸν
διαφθειρουσῶν. ἢ τὸ γὰρ ὡς θεότητος φύ-
σιν ἢ σάρξ. ἢ τὸ πρὸς σάρκα ἢ τῆς θεό-
τητος μεταβεβλημένης φύσεως. ἢ τὸ πρὸς
ἀλλήλας γοῦν εἰς μίαν φύσεως παρὰ ταύτας
ὁ τῆς πρὸς φύσιν μίαν ἑνώσεως τρό-
πος τὰς φύσεις συνάπτει. ἀλλὰ τὸ
μυστήριον τῆς θείας σαρκώσεως οὐ
κενοῖ γινώσκω. φυσικὴν οὐ χωρίσκω
μετὰ τὴν ἕνωσιν ἐν τῷ μυστηρίῳ
διαφορὰν σαρκὸς καὶ θεότητος.
ἡ δὲ σαρκὸς ἐν χριστῷ καὶ θεότητος μετὰ
τὴν ἕνωσιν ὑπάρχει κατὰ φύσιν
διαφορά. οὐ γὰρ ταυτὸν κατὰ ποιότητα
ὥς τε θεότης καὶ σάρξ. πρὸς φύ-
σεως μιᾶς γοῦν εἰς. ἢ τῶν συνελθόν-
των οὐδαμῶς γέγονεν ἕνωσις.
ἀλλὰ πρὸς μίαν ὑπόστασιν. καθ' ἣν
οὐδὲ μίαν ἐν χριστῷ καθόλου διά πο-
τε τρόπον εὑρίσκομεν διαφοράν.
ταυτὸν γὰρ τῇ οἰκείᾳ σαρκί. κατὰ
τὴν ὑπόστασιν ὁ λόγος. καθὸ γὰρ ἂν
ὁ χριστὸς ἔχει διαφοράν. ἐν ᾗ καὶ κατὰ ἀπαρτί

τρόπον οὐ δύναται· καθὰ δὲ τὴν διαφορὰν
τῶν μερῶν οὐκ ἀποδέχεται διαφοράν· κατὰ
τὸν αὐτὸν τρόπον τὸ ἐν ἑνώσει τοῦ δι' αὐτῶν
τοῖς εὐσεβέσιν ἐστὶ καὶ ὂν καὶ λεγόμενον·
οὐ καθὸ ἐστι τῶν φύσεων διαφορά· καθὸ δια-
φορά, πάντως ὑποκείμενον ἐστι ποσὸν
τῶν διαφερόντων· ποσοῦ γὰρ χωρὶς οὐ
κἂν εἴη ποτὲ διαφορά· τὸ δὲ ποσὸν ἀρι-
θμοῦ χωρὶς οὐ δέχεται δήλωσιν. καθὼς
ἂν προσμάθῃ τὴν δήλωσιν τῆς διαφο-
ρᾶς τῶν ἐξ ὧν ἐστι φύσεων ὁ Χριστὸς μετὰ τὴν
ἕνωσιν τὸν ἀριθμὸν παραλαμβάνο-
μεν· σημαίνοντες, ἀτρέπτους σωζομένας
τὰς φύσεις μετὰ τὴν ἕνωσιν· ἀλλ' οὐ διαι-
ροῦντες τῷ ἀριθμῷ τὰ ὡς ὑποστάσει
μίαν συνδεδραμηκότα τὴν ἕνωσιν·
καὶ δηλοῦμεν τοῦτο φρονοῦντες, τῆς
ὑποστάσεως ὡς πράγματος. καθότι οὖν ἀρι-
θμὸν οὐκ ἐπάγοντες· ὃ γὰρ οὐκ ἐπιθεω-
ρεῖται διαφορὰ πάντως, οὐδὲ ποσὸν
συνεισάγεται· τὸ δὲ ποσὸν οὐκ ἔχον συνεισα-
γόμενον. οὔτε τὸν δηλωτικὸν τῆς διαφο-
ρᾶς ἀριθμὸν ἐπιδέχεται· συνάγομεν οὖν
κατὰ τὴν ὑπόστασιν. καθ' ἣν ἐν ταὐτό-
τητι καὶ τὸ πάντη θεωρεῖται μοναδικόν.
ἀλλ' οὐ κατὰ φύσιν τὸν Χριστὸν ὁμολογοῦμεν,
καθ' ἣν ἡ διαφορὰ θεωρεῖται καὶ τὸ

μεῖ τοῦ τῆς μοναδικῆς· ἵνα καὶ τὸ ταυτὸν
καὶ μοναδικὸν φυλάξωμεν τῆς ὑποστά-
σεως· καὶ τὴν διαφορὰν τῶν προσώπων
τριῶν μίαν συνδραμοῦσαν ὁμολογή-
σωμεν φύσιν: οὗτός ἐστιν ὃν ἴδεν
ἐν σχήματι δρεπάνου πετόμενον· ὁ θαυ-
μαστὸς Ζαχαρίας· ἐκθεριστικὸς γὰρ
πάσης κακίας τε καὶ ἁμαρτίας ἐστὶν
ὁ τοῦ θεοῦ λόγος· μῆκος αὐτοῦ φησὶν πηχέων
εἴκοσι· καὶ πλάτος αὐτοῦ πηχέων
δέκα: ὡς μὲν θεὸς καὶ λόγος ὁ Χριστός.
ὡς δὲ καταστήσας τὰς ἐμπορίας τοὺς
μους καὶ θέσμους ἐν τοῖς ταῖς τῆς προ-
νοίας τρόποις κατὰ τὸ πρόσοδον πλα-
τύνεσθαι πέφυκεν· ὡς δὲ καὶ ἄγγελος
ἐν τόποις· ὁ τοῦ θεοῦ παρατείνεται λόγος.
δι' ὧν τήν τε τῶν δεόντων ἐνέρ-
γειαν· καὶ τῶν οὐ δεόντων τὴν ἀρ-
γίαν νομοθετήσας· πᾶσαν περιέσχεν
τῶν προνοουμένων τῆς αὐθαιρέτου
γνώμης τὴν κίνησιν· ὡς δὲ γενόμε-
νος σὰρξ ὁ αὐτὸς καὶ τελείως ἐνανθρω-
πήσας· ὡς εἰκοσάπηχυς μηκύνεται·
διὰ τὴν ἐξ αἰσθήσεως τῶν στοιχείων προσ-
γενομένην τοῦ σώματος σύνθεσιν· πέντε γὰρ
αἱ αἰσθήσεις ὑπάρχουσιν· καὶ τέσσαρα
τυγχάνει τὰ στοιχεῖα· ἐξ ὧν κατὰ σύνοδον

πηχέων εἴκοσι ... τοῦ αὐτοῦ ... δέκα πηχέων·

π(ερὶ) αὐτὸς πάλιν
π(ερὶ) ἀνθρωπομορφεῖ

καὶ τῶν αὐτῶν συνέζευκται φύσις· ὥσπερ τε
δὲ εἰσὶ τέσσαρα συντιθέμενα. ποιεῖ
τὸν ἀριθμὸν σαφῶς ἀριθμόν· μῆκος
δὲ τὸν τῆς οἰκονομίας ὑπογραφεῖ προ-
σηγόρευσεν τρόπον. δι' αὐτὸ τὸ ὕψος
καὶ τὸ ὑπὲρ πᾶσαν ἡμῶν φύσιν τὸ
μυστήριον τῆς θείας ἐνανθρωπή-
σεως: πιεζόμενον δέ, δι' αὐτὸ τὸ μηδὲν
ἦν ἐστὶ ζητοῦν. δι' αὐτὸ τὸ ταχὺ καὶ ὀξυκίνητον.
καὶ συνεχὲς τοῦ φᾶναι συντετμημέ-
νον τοῦ λόγου. καὶ πᾶσαν τὴν τῶν ὄντων
σωτηρίαν μόνη περιγράφοντι καρ-
δίαν τῶν σωζομένων. κατὰ μὲν
τὴν πίστιν καὶ τὴν ἀγαθὴν συνείδη-
σιν συνεφομένην. οὐδὲν γὰρ τούτου τά-
χιον ταχύτερον. καὶ τοῦ διὰ στόματος ὁμο-
λογεῖν τοῦ πιστεύοντος τὴν χάριν ἐπι-
σκοπώτερον· τὸ μὲν γὰρ δηλοῖ τὴν ἐπιτυ-
χίαν πρὸς τὸν πνευματικὸν τοῦ πνευ-
ματικοῦ ἀγαθῶν· τὸ δὲ τὴν θεοφιλῆ
πρὸς τὸν πλησίον διάθεσιν· ἀγάπη
δὲ καὶ γνησία διάθεσις. ἔγγονοι πίστεως
καὶ ἀγαθῆς συνειδήσεως. ἔργον προοί-
μιος τοῦ κατὰ καρδίαν ἀφανοῦς ὑπάρ-
χει κινήματος. τῆς ἐκ τοῦ ὕλης προσ-
γενέσιν πάντως συνδεόμενον· μάτην
συντετμημένον φησὶν ποιεῖ ὁ κ(ύριο)ς

ἐπὶ τῆς γῆς· οὗτός ἐστιν ἡ ἀρὰ ἣν ἐξε-
πλήρωσεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς
ὁ θεὸς καὶ πατήρ. ἡ ὄντως ἀρά. τῆς ἀρᾶς τῆς
ἀληθινῆς· ἐπειδὴ γὰρ γέγονεν ἀρὰ
διὰ τῆς παραβάσεως ἡ παρακοὴ
τοῦ ἀδάμ. μὴ συγχωρήσασα προσγε-
νέσθαι καρπὸν δικαιοσύνης αὐξηθεῖ-
σαν τὴν ἐντολήν. ἵνα λάβῃ τὴν εὐλο-
γίαν ἡ κτίσις. ἐν τῇ ἀρᾷ γίνεται τοῦ ἀδὰμ
ἡ καταφίωσιν τοῦ θεοῦ καὶ πρὸς εὐλογίαν.
τῆς καθ' ἁμαρτίαν ἀρᾶς. ἀρὰ τί-
νος μείξῃ πρὸς ἀναιροῦσιν τῆς προσ-
γενέσθαι καρπὸν ἀδικίας αὐξηθείσης
παρακοῆς. ἵνα ἀφανίσῃ τὴν φύσιν τῆς
καθ' ἁμαρτίαν αὐξήσεως ἡ κτίσις·
κατάρα γὰρ δι' ἐμὲ καὶ ἁμαρτία γέ-
γονεν κατὰ τὸν θεῖον ἀπόστολον. ὁ τὴν
ἐμὴν μίαν κατάραν καὶ τοῦ κόσμου
αἴροντα τὴν ἁμαρτίαν· δύο γὰρ κατά-
ρας ἔχομεν ἐγώ· μίαν μέν. καρπὸν οὖσαν
τῆς ἐμῆς προαιρέσεως· τουτέστιν τὴν
ἁμαρτίαν. δι' ἧς ἐφ' ἡμῖν ἡμῶν. τὸ κατά-
ρα τὴν τῆς ψυχῆς ἀποτελοῦσαν γόνιμον.
ἑτέραν δέ. τὸν καταψηφισθέντα διὰ
ὡς δι' αὐτὴν ἐμὴν προαίρεσιν τῆς φύ-
σεως θάνατον. ἑκάτερον πρὸς ἑαυτὸν ἕλκω
καὶ μὴ κουφίζων τὴν φύσιν ὠθούμενον.

πρ(ὸς) κ(αὶ) ἀρὰ. ὅτι-
νος ἀρά.

ἐπειδὰν [illegible] πρὸς τὴν [illegible]
χ(ριστὸ)ς τὴν [illegible] κινηθὲν [illegible]
[illegible]
[illegible]

ἐν θανάτῳ τῆς ἐμῆς προαιρέσεως ἐμέ-
τέρᾳ· καὶ ἁμαρτάνειν· καὶ κακοποιεῖν τῶν
ἄλλων καταλιπεῖν· θεῖσαν τῆς φύσεως ὁ τῆς
φύσεως ποιητὴς ἀπὸ τῆς γενέσεως θεὸς
ἑκουσίως ὑπέλυσεν κατάραν· φημὶ
δὲ τὸν θάνατον· τὴν ζωὴν ἡμῖν
καὶ κατὰ προαίρεσιν τῆς ἁμαρτίας
κατάραν· τὰ οἰκεῖα θανάτου διὰ
σταυροῦ καταργήσας ἀπέκτεινεν καὶ
γέγονεν ὑπὲρ ἡμῶν κατάρα. τῆς ἐ-
μῆς ἁμαρτίας κατάρα· καὶ θάνατος·
καὶ συγχωροῦσα προσγένεσιν κατὰ τὸν
ἀληθείας ὤφθη τὴν παράδοσιν· τῆς
δὲ καὶ ἐπιτομὴν θεὸς δὲ καὶ σω-
τήρ. εὐλογίαν καὶ ζωὴν ἐντέλλεται:
Τοῦτο τὸ δρέπανον, ἤγουν ὁ κατὰ κλεπτῶν καὶ
θεοῦ ἰησοῦ χριστοῦ· συντελεῖ τὸν κλέπτην καὶ ἐπίορ-
κον· καὶ τὸν οἶκον αὐτοῦ καταλύσει καὶ
καταναλώσει τὰ ξύλα αὐτοῦ καὶ τοὺς [illegible]
λίθους αὐτοῦ· κλέπτης δὲ κατὰ ἀλη-
θείαν ἐστὶν καὶ ἐπίορκος, ὁ πονηρὸς
καὶ κλέπτης διάβολος· κλέπτης μὲν
ὡς συλήσας δι' ἀπάτης δόξαν τοῦ
παραδείσου τὸν ἄνθρωπον· ἔργον καὶ
κτίσμα θεοῦ καὶ κτῆμα τίμιον ὑπάρχον-
τα· καὶ ἐπίορκος δὲ τῆς κακοῦ [illegible]
γὼν τὸν πρῶτον· καὶ τὰ τῆς ἀληθείας [illegible]

κόρισμα νεοζῆς· πολλοῖς ἁμαρτήμασιν
ἐγκυλίσειν καταπαύσας· ἢ διὰ περι-
ουσίαν ἔχειν ποιήσασθαι· τὸν ἀλλότρι-
ον πλοῦτον. ὁ γὰρ τῶν ἀλλοτρίων κτημάτων ἐφι-
έμενος ἀγαθῶν· οὐχ ἵνα τηρήσῃ, ἀλλ' ἵνα
κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐπίορκος δὲ
ὡς τεύχησι τῆς παραλογισμοῦ· ὑπισχνούμε-
νος γὰρ τοῦ ἀδικηθέντος θεότητος δό-
ξαν· πρὸς ἀπιμίαν κτήσεων ἀλλότριον
χάριν κατεύναζεν· καὶ γὰρ τῆς κτήσεως
ἣν αὐτὸς κυριώτερον ἢ πρὸς οἰκεῖν
αἰτιώτερον· τοσοῦτον πλέον ἔχων τὰ
τῶν κτήσεων κατὰ τὴν χάριν τῆς ἀλο-
γίας. ὅσον τοῦ κατ' αἴσθησιν τὸ παρὰ
φύσιν ἄδειν πλεονέκτερον· καὶ τῆς ἀθα-
νασίας αὐτὸν ἀποξενώσας. τὴν πρὸ
μὲν τῆς φθορᾶς κατεσχημένην· οἶκος
δὲ τούτου τοῦ κλέπτου καὶ ἐπιόρκου· ὁ παρὼν
τῆς φθορᾶς καὶ τῆς ἀμεταβλήτου συγχύ-
σεως καταστάσεως κόσμος· ὃν τυχὸν ὡς φθείρει
σαντος μετὰ τὸν ὅμοιον· ὅμως δὲ λιπ[illegible]
συγχωρεῖσθαι δι' ἃς οἶδεν αἰτίας ὁ μὴ φθό-
νον αὐτοῖς συγχωρήσασθαι. μέχρις ἂν ὁ κυ-
κλικὸς τοῦ χρόνου συντετελεσμένος δρόμος·
ἐπὶ τούτοις τοῦ κόσμου καταλύσας· ὡς ὅμοι-
κος διὰ τῆς ἀφράστου σαρκώσεως ὁ τοῦ
θεοῦ λόγος. πῦρ τὸ δι' αἰώνιον [illegible] κατήργησεν.

κλοπὴ [illegible] πονηρὰ [illegible]
ἀπάτη τῆς φύσεως [illegible]
θυσία [illegible] θύει τ[illegible]
[illegible] κλέπτομεν [illegible]
[illegible]
[illegible] προσεκ[illegible]
[illegible] τελεῖ [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] διὰ τοῦτο [illegible]

[illegible]
[illegible]
ζωῆς. [illegible]

[illegible]

[illegible]
[illegible]
τις τυχὸν. [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
συντρέχει ἢ κατηγορεῖ. [illegible]
οἰκεῖ [illegible]
[illegible]
[illegible]
[illegible] ἑαυτῶν
[illegible]

τινα παρὰ τὴν αὐτὴν

καὶ τὰ ἄψυχα καὶ τοῖς μὲν τοῦ κόσμου τοῦ
του παντὸς σωτῆρος συνεπάσχομεν· ταῖς ὀδύναις τοῖς
κασμοῖς, καὶ τοῖς τῶν ἡμαρτημάτων ἡ δράματα
διορύσσοντα πάντ' ἔργα καὶ ἀφανίσας.
δι' ὧν ὡς θεοῦ τις ὁμόροφος καὶ ἀλλό-
κοτος· ὁ τῆς φερὰν καὶ σωτὴρ διάβολος
προσελωνίσθαι παρ' αὐτῶν πλανηθεὶς
τῶν ἔργων· τὴν ἐκείνων ἄνοιαν δό-
ξης γὰρ διὰ σῶς πολυτῶν πλανωμένων
ἀμοιβῇ τὸ τέρας. ὑμῶν τοιούμενος τι-
τεμ τοῦ δολικῆν· οὐκ ὄντος κατάλληλον
ξύος τοῦ πράγματος ἄφρον ἐκεῖ φρον·
ἐκ τούτων τοῦ καθάρου καὶ ἐπόρκου διαβό-
λου τὸ οἶκον μέρος δὲ τοῦ δὲ τοῦ κόσμου
ὁ φιλάνθρωπος τῶν ἐχθρῶν λύμεων λυ-
τρωτὴς καὶ τῶν σωμάτων. διὰ σαρ-
κὸς καταλύσας ὁμοῦ κατὰ κρείττων
κατὰ τὸν τῆς προτέρας πλάνης
τρόπον· καὶ ὅλον πάλιν κατὰ τὸν τῆς
ἀληθείας ἐπιγνώσεως ἐπανορθώσας τό-
πον· καὶ ἀπολέσας ὀψώνιον· τὸν μὲν ἥδη
θείσας. τῶν ἀλλοτρίων κτημάτων.
αὐτὸς πάλιν ὡς δεσπότης δι' ἀρετῆς τῶν
οἰκείων ἐκράτησεν. κατὰ πᾶσαν τὴν
ἐπουράνιον τὴν ἀξίαν αὐτοῦ μεγαλοπρε-
πῶς ἐκκλησίαν δειμάμενος· καὶ τὸ μὲν
κλέπτης ἐστιν. ὁ διάβολος. ὡς δι' αὐτὸς ὁ τῆς

ἀντιστροφὴ τοῦ οἰκ(είου)
... τοῦ κόσμου ... τὸν πλά(νον)
... σωτῆρος ...:—

κ(αὶ) ἄλλων ...
... ἱκ...·

λόγος τὴν ἑκάστου πρὸς ἑαυτὸν μεταφέ-
ρειν μέχρι καὶ νῦν μηχανώμενος ἔφθειν·
Ἐπίορκος δὲ καὶ ψεύστης, ὡς παραλογιστής
ὁμοῦ καὶ τὴν τῶν ἀμεινόνων ἐλπίδι. τοῖς
κουφοτέροις τῶν τέως ἐν χερσὶν ἀγαθῶν
ἀφίστασθαι πείθων· καὶ δι᾽ αὐτῶν νομιζομέ-
νων κερδῶν, μανθανόντων τοῖς πειθο-
μένοις αὐτῷ πόνους δημιουργῶν· οἶκος
δὲ τούτου τοῦ κλέπτου καὶ ψεύστου καθέστηκεν.
ἡ φιλαμαρτήμων τῆς ἑκάστου καρδίας
διάθεσις· ἔχουσα καθάπερ μίθους. τὴν
περὶ τὰ κακὰ τῆς καρδίας πώρωσιν
καὶ ἀναισθησίαν· ξύλα δέ, τὰ ἔξωθεν καὶ
ἐνθύμια τῆς τῶν παθῶν ἀκαθάρτου
πυρώσεως· καὶ μήποτε ξύλα φησὶν προ- ἄλλη ἡ αὐτῶν θε-
ποικίλως κατέγραψε τὴν ἐπιθυμίαν· ξύλον γὰρ τοῦ ἐπιθυμητικοῦ
ταύτης πρὸς τὸν ἀναγέγραπται παρὰ
φύσιν διαφθείραντι τὴν κίνησιν· καὶ διὰ τὸ
ἄκαρπος πάλαι· ὡς τοῦ πυρὸς καὶ ξυλώδης
ὕλη. ταύτην δὲ ἐκτικὴν γίνεσθαι τῆς ψυχῆς
τὴν δύναμιν· λίθους δέ, τὸ ἀφρόντιστον
καὶ ἀναίσθητον καὶ μὴ ἥκοντα λό-
γον τῆς ἀρετῆς τῶν θυμικῶν κινημά-
των· ἅπερ πάντα μετὰ τῆς ὕλης, ταύτῃ
τυγχάνουσιν οἰκίας. κἂν τούτῳ διαθέσεως. ἀφα-
νίζεται καὶ σωματικῶς παραγινόμενος ὁ τοιοῦτος λόγος.

ἐκδιωκόμενον αὐτῆς· ὥσπερ τὸν δι' αὐτῆς πυ-
ρέσσοντα· τὸν διὰ τῆς πόλεως καὶ ἐν αὐτῇ κατο-
κατοικήσαντα φρούρια· τὸν οἰόμενον
ἰσχυρὸν εἶναι· πολλοῖς ἀλύτοις καταλύ-
σαντα· καὶ τὴν οἰκίαν αὐτοῦ διαρπάσαντα·
τὴν τε τῶν παθῶν ἐξουσίαν ἐξ ἡμῶν
τῆς ἁμαρτίας ὥσπερ σεισμὸς ἀπε-
λαύνουσα τῆς καρδίας· εἰ τύχοι μικρὸς
κακή, τὴν ἁμαρτίαν τῆς ῥᾳ-
θυμίαν, ὡς ἀρετῶν ἀναισθήτου
οἷς. ζύμη δὲ τὴν ἁμαρτίαν καὶ κακίαν προ-
θυμίαν· οἱ ἁμαρτάνοντες ἔξω τῆς καρ-
δίας τῶν πειρασμῶν διὰ τὸ θυμούμενος
ὁ λόγος. οὕτω καὶ ἐπὶ τοῖς ἁμαρτήμασι καὶ
ἀποκαταλλάσσων ἐν ἑνὶ σώματι
τῶν ἀρετῶν. τοιγάρ μακαριωτάτη καὶ τοῖς
ἔργοις. τὸ μέσον τοῖχον δῆλον ὅτι τοῦ
φραγμοῦ καταλύων· μᾶλλον δὲ τὴν
ἁμαρτίαν. καὶ τῆς γνώμης ἀκυρῶν
τὸ περὶ κακίαν χειρόγραφον. καὶ τὸ
φρόνημα τῆς σαρκὸς καθυπο-
τάσσων τῷ νόμῳ τοῦ πνεύματος· τοὺς
μακαρίους γὰρ οὐκ ἀδίκως οἶμαι, τοὺς
καταίσθησιν κινήσαντας μακαρίαν
καταφύσιν οἴσας. καὶ ζῶντας πάντα
τοῖς τοῦ νόμου τοῦ θεοῦ· ἔργοις δὲ τοὺς

[illegible]

νοσερᾶς τῆς ψυχῆς ὑμετέρας; ὥστε τοῦ
λόγου καταδέξασθαι οὐκ ἀκούσας μα-
κρὰν· ἀπόρ σιν ἀπαλλαγῇ μετὰ τὴν κατά-
λυσιν τοῦ σαρκικοῦ νόμου, κατὰ
τὸν τῆς ἀρετῆς τρόπον συνδέων
αὐταῖς ἀμηχάνοις τῷ πνι· μεσότοιχο-
ν γὰρ ὡς οἶμαι. τὸν κατὰ φύσιν νόμον
τοῦ σώματος λέγει κινούμενον· φραγμὸν
δέ. τὴν ἐν τῷ νόμῳ τῆς σαρκὸς
πρὸς τὰ πάθη σχέσιν ἔχουσαν τὴν ἁ-
μαρτίαν· μόνη γὰρ ἡ πρὸς τὰ πάθη
τῆς ἀτιμίας σχέσις τοῦ νόμου τῆς
φύσεως, τουτέστι τοῦ παθητοῦ τῆς
φύσεως μέρους, φραγμὸς γίνεται
τῆς ψυχῆς. τὸ σῶμα διατειχίζων·
καὶ τοῦ λόγου τῶν ἀρετῶν. τὴν πρὸς
σάρκα διὰ μέσης ψυχῆς κατὰ τὴν
πρᾶξιν μὴ συγχωροῦν γενέσθαι διάβασιν·
ὁ δὲ λόγος παραγενόμενος εἰς τὸν νό-
μον κείτου τὸ τῆς φύσεως παθητὸν
καταπαλαίσας. τὴν ἐν αὐτῷ
τῶν παρὰ φύσιν παθῶν σχέσιν καὶ
τὴν γνῶσιν· : οὗτός ἐστιν ὁ κς μου ὁ θς
μου χς ἰς. ὅν, ὡς ἄρ ἑωρακὼς ἐβόα λέγων
ὁ προφήτης ἤκουσα τὴν χθαρὸν τὸ μῆκος·
περιεκτικὸς γὰρ πάσης τῆς ἐν τοῖς

Σωματικὴ μὲν ... / τῶν ἀρετῶν κίνησις ... / καὶ νοῦν ἐνεργεί... / ποιεῖ τῆς καθά... / γνώσεως ἀρχήν

καὶ ὁ λόγος ... μόν- / νουμένου ὅλος, εἰκός / ... / ... τοῦ σώματι ... / κόσμου ποιητ... / νη τοῦ ὑποστά...

αἰσθητοῖς ἐστιν αἰσθητικῆς ἐνεργείας·
καὶ δὲ κατονήχεσθων τὸ τοιοῦτος· ὁριστι-
κὸς γὰρ πάσης μεγαλικῆς ὑπάρχει κι-
νήσεως ὁ ἐμὸς θεὸς ἔστι· φασὶ γὰρ
τὴν ἀριθμητικὴν μόνου καταφθίσιν ἐστὶν
τοῦ μονικοῦ· τῶν τοῦ δὲ ἀριθμοῦ
περιοχὴ καὶ τέλος ἐστὶν ἡ δεκάς. ἄρα
περιεκτικός· οὐ μόνον αἰσθητικῶν
δυνάμεων, ἀλλὰ καὶ νοερῶν ἐνεργει-
ῶν ἐστὶν ὁ τοῦ θεοῦ λόγος· ὡς μὴ μόνον
ματίζεται πανεκλῆσιν. σωμάτων, ἀλλὰ καὶ τῶν ἀσωμάτων
δημιουργός· ἄνθρωπον δὲ προσηγορεύ-
θη κατὰ τὴν ὅρασιν. οὐ μόνον ὡς θε-
ρίζων τὴν μεγαλικὴν φύσεως καὶ αὐτὸς
οὐ καταφρονεῖν κακίαν. καὶ σώφρων καὶ αὐ-
τὸς οὐδ' ἀκόρεστος φύσιν. ἀλλὰ καὶ ὡς
ἀρεσόμενος καὶ ζώων τῶν θεῶν αὐτο-
θικῶν τοῖς σωζομένοις ποιούμενος·
πρὸς δέ. καὶ ὡς ταῖς ἐνεργείαις τῶν
ἀρετῶν, καθὼς ταῖς πρακτικαῖς δυ-
νάμεσι τῆς ψυχῆς συμφυόμενος·:
ἡ δ' ἐστὶν ἡ τοσολογία προσώπων δύο ς
οἷ καὶ τοσούτων ὁ τῆς γραφῆς ἔμφασιν
ποιήσασθαι λόγος ὧν ἐργάζεται τὸ δαιμό-
νων τὴν καλουργίαν φάσκων· καὶ ἔσθ'
μάθεται ἐς τὸν οἶκον τοῦ κλέπτου καὶ ἐς τὸν

...στεναχθήσεται ταῖς
...πρακτικαῖς δυνάμεσι
...
...τῆς ψυχῆς
...
...
...

οἶκον τοῦ ὀμνύοντος ἐπὶ τῷ ὀνόματί μου
ἐπὶ ψεύδει. γνωσόμεθα ὅτι τὰς δύο γενικὰς   τίνα αἱ β' οἰκί(αι)
καὶ πάσας περιεκτικὰς ἐνεργείας
τῆς τοῦ διαβόλου πλάνης. ἀντὶ προσώ-
πων δύο οἴκων ἐσήμανεν εἴτουν τοὺς
τρόπους τῶν ἐνεργειῶν. ἢ τὰς δύο γενι-
κὰς καὶ τῶν μερικῶν ὁριστικὰς περὶ τὴν
πρᾶξιν διαθέσεις τῆς ἀνθρωπότη-
τος. οἴκους δύο προσηγόρευσεν ὁ λόγος·
οἷον· κλοπὴ μὲν ἡ δι' ἀπάτης λόγων συλῶσα
τὴν περὶ θεοῦ ἔμφυτον γνῶσιν τῆς φύσεως
ταύτην ὁ πονηρὸς εἰς ἑαυτὸν σφετερί-
ζεται, κλέπτης ἐστίν. εἰς ἑαυτὸν ἀπὸ τοῦ θεοῦ
τὸ σέβας μεταφέρειν πειρώμενος· ἀπά-
γων δηλονότι τῶν ἐν τοῖς γράμμασι πνευμάτι-
κῶν λόγων. τὴν κατὰ νοῦν τῆς ψυχῆς
θεωρίαν, καὶ μόνῃ περιγράφων τὴν
μορφὴν νοερὰν δύναμιν· τῇ κατὰ τὴν ἐπιφά-
νειαν προσοχῇ τῶν αἰσθητῶν· ὁ τοίνυν   περὶ τῆς ἐπιορκίας ὁ δι(ά)
κακῶς διὰ τῶν φυσικῶν ἀπαρχόμενος
κινημάτων πρὸς τὰ παρὰ φύσιν σοφι-
στικῶς τῆς ψυχῆς κατασύρει τὴν πρα-
κτικὴν δύναμιν. καὶ διὰ τῶν νομιζομένων
καλῶν τοῖς χείροσι πιθανῶς δι' ἡδονῆς
προσάγει ταύτης τὴν ἔφεσιν. ἐπὶ τῷ
ὀνόματι κυρίου ὀμνύει ψευδῶς. πρὸς ἄλλα

κλοπὴ μὲν [illegible]
[illegible] ἐπιτίμως [illegible]
κακ[illegible] [illegible]
[illegible] καθ' [illegible] τοῦ
[illegible] τὴν πλά-
νην [illegible] τοὺς
κακοὺς τὴν [illegible]
τὸ μοναχ[illegible]

παρ' ὑπόσχεσιν ἄγοντας τὴν ἐπερχομένην
τύχην· καὶ ἔστιν καχέκτης μέν, ὡς πρὸς
ἑαυτὸν συνιὼν τὴν γνῶσιν τῆς φύσεως.
οἱ κακῶς ἔχοντες τὴν περὶ τὴν ἁρμονίαν τῶν
πραγμάτων μεμιγμένων διάθεσιν· ἐπίορκος δέ,
ὡς τὸ πρακτικὸν τῆς τύχης μά-
την διαστήσας [illegible] τοῖς παρὰ
φύσιν. οἱ κακῶς ἔχοντες τὴν φιλαμαρτή-
μονα τῶν ἀντεχομένων διάθεσιν:
Οὐκοῦν καχέκτης ἐστὶν ὡς ἔφην ὁ δύσκολος.
τὴν γνῶσιν παρατρέπων τῆς φύσεως·
ἐπίορκος δέ, τὴν κατ' ὀρθὴν ἐνέργειαν
αὐτῆς παραμιγνὺς τῆς πράξεως:
οἱ κακῶς δὲ καχέκτου καθέστηκεν. ἢ τὸ παρα-
τετραμμένον τῆς γνώσεως ἐνισχημένη διάθε-
σις· οἱ κακῶς δὲ ἐπιόρκου. ἢ τὸ μῖσος τῶν πα-
θῶν τῆς ἀτιμίας πεποιημένη διάθεσις.
ὥσπερ ὁ τοῦ θυσιαστηρίου λόγος φιλομαθεσ-
τάτοις [illegible]. ποιῶν κατοικητήριον θεοῦ διὰ
τῆς γνώσεως ἀληθείας, ἀντὶ τῆς πλάνης
καὶ ἀγνωσίας. καὶ ἀρετὴν καὶ δικαιοσύνην
ἀντὶ κακίας καὶ πονηρίας δημιουργῶν.
δι' ὧν ἐν τοῖς ἀξίοις [illegible] ὑψηλῶν τὴν
οἰκείαν ἐμφαίνει· τοιγαροῦν ἀντὶ
τῶν προσφόρων τοῖς τρόποις τῆς
διαφόρου κακουργίας τοῦ ἐμοῦ καὶ τοῦ αὐτοῦ

πονηροῦ διαβόλου· ἢ αὐτῇ τῇ γνώμῃ οἰκειοῦν-
τας· προσφυεῖς τοῖς διαβολικοῖς
τρόποις τῶν ἐμβροντουμένων διαφέ-
ρεις κόκκινον ὅμοιος:· κλέπτης δὲ πάλιν
ἐστίν· ὁ πρὸς ἀπάτην τῶν ἀκουόντων
τοῖς θείοις δῆθεν ἀσκούμενος λόγοις·
ὧν οὐκ ἐπιδείκνυσι διὰ τῶν ἔργων τὴν δύ-
ναμιν· τὴν δὲ ψιλὴν προφορὰν δόξης
ἐμπορίαν ποιούμενος· ἢ τὸ διὰ γλώσσης
λόγου· τὸν τοῦ δικαίου νομίζεσθαι παρὰ
τῶν ἀκροωμένων θηρώμενος ἔπαι-
νον· καὶ ἄτοπος ἢ φαῦλος· ὁ τῷ λόγῳ τὸν
βίον ἀνάρμοστον· ἢ τῇ γνώσει τὴν διά-
θεσιν τῆς τέχνης ἔχων ἀντικειμένην.
κλέπτης ἐστίν· ἐκ τῶν ἀλλοτρίων ἀγα-
θῶν, οὐκ ἄλλως διαφαινόμενος·
πρὸς ὃν ὁ λόγος ἢ κατὰ τὸ ἔργον· τῷ
δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα τί σὺ
διηγῇ τὰ δικαιώματά μου· καὶ ἀνα-
λαμβάνεις τὴν διαθήκην μου
διὰ στόματός σου: καὶ πάλιν κλέ-
πτης ἐστίν· ὁ τοῖς φαινομένοις τρό-
ποις καὶ τὴν θέσιν τὴν μὴ φαινομέ-
νην συγκαλύπτων τῆς τέχνης κα-
κουργίαν. ἐοικὼς κατὰ τὸ σχῆμα τῇ
τὴν ἔνδον ἐγκεκαλυμμένην διάθεσιν·
κζ κλεπτῶν ὃν πὸρ ἐκ νυκτὸς τὴν

σχο
κατὰ ... ἐστὶ τὴν
πρὸς φθόνον ... τοῖς
... [illegible]
τὸ ... [illegible]
γνώσεως:·

κλέπτης ἐστὶ ... ὁ ... τὴν κρυ-
πτὴν ... [illegible]
τὴν ... ὑποκρινόμενος
... ἢ τῷ βα-
νομένω ... [illegible]
λανθάνει συγκαλύπτ-
... πονηρ...

σχ
ὁ κατὰ μόνην κατὰ τὴν
λόγοις προφορὰν
γνώσεως ὑποκρινό-
μενος πρὸς δόξαν
τῶν ἀκουόντων
ποιεῖ ... [illegible]
... τὸν ... [illegible]
ὑποκρινόμενος. πρὸς δόξαν

ἰδοὺ κλέπτης ... τὴν ... [illegible]
ἀμφότεροι ... [illegible]
... τῶν ἀκουόντων ... [illegible]
... ὀνόματος ἀξία ...

προφορᾶς τῶν λόγων τῆς γλώσσης
τὴν τῶν ἀκουόντων διάνοιαν. οὕτως
δὴ καὶ αὐτὸς τοῦ τρόπου τῆς τῶν λί-
θων ἐπικρίσεως τῶν ἐνθεωμένων
τὴν αἴσθησιν· πρὸς ὃν ὁμοίως εἴρηται.
τὸ αἰσχυνθήτωσαν οἱ ἐνδεδυμένοι ἱμά-
τια ἀλλότρια· καὶ τὸ ἀπὸ καλύψεως
τὸ σχῆμα αὐτῶν ἐν τῇ καμάρᾳ ἐκείνῃ·
καθὸ καὶ ἀπώλειαν γὰρ ἐν τῷ κρυπτῷ τῆς καρ-
δίας ἐργαστηρίῳ. ταῦτα γάρ οἱ λέγοντος
ἀκούειν δοκῶ τοῦ θεοῦ τὴν καμάραν, ὡς
ἐπαμφοῖν διαρρήδην κατευχόμενος:
Ἐπίορκος δὲ ἐστίν. ἤγουν ὁ μηνύων ἐπὶ
τῷ ὀνόματι κυρίου δόλως, ὁ ἐπαγγελλό-
μενος τῷ θεῷ τὸν κατ᾽ ἀρετὴν βίον. καὶ
ἀλλότρια παρὰ τὴν ὑπόσχεσιν τῆς
οἰκείας ἐπαγγελίας ἐπιτηδεύων. καὶ
τὴν συνθήκην τῆς ὁμολογίας τοῦ
σωτηρίου. διὰ τῆς ἀργίας τῶν ἐν-
τολῶν ὅλος ἀεὶ παραμένων· καὶ συντό-
μως εἰπεῖν. ὁ κατὰ θεὸν ζωὴν προσπεσόμε-
νος. καὶ μὴ τελείως τῷ παρόντι κόσ-
μῳ νεκρούμενος. τοιοῦτος ἐστὶν καὶ ἐπίορ-
κος· ὀμόσας μὲν τῷ θεῷ. τουτέστιν
ἐπαγγειλάμενος τῶν ἐν τοῖς θείοις ἀνδράσιν
ἀμέμπτων δρόμον. καὶ μὴ πληρώσας·
καὶ διὰ τοῦτο καὶ ὁλοκληρῶς ἐπαινούμενος:

ἐπαινεθήσεται γὰρ φησὶν πᾶς ὁ ὀμνύ-
ων ἐν αὐτῷ· τουτέστιν, πᾶς ὁ τῷ θεῷ
τὸν ἐν θεῷ ἐπαγγειλάμενος ὅρκον. ἢ διὰ
τῆς ἀληθείας τῶν ἔργων τῆς δικαιο-
σύνης τοὺς ὅρκους πληρῶν τῆς καρδί-
ας ὑποσχέσεως· ἢ δὲ πάντως ἔπαινον
ἕξει ὁ τῶν οἰκείων πληρωτὴς ἐπαγγελι-
ῶν· ὡς ὀμνύων ἐν τῷ θεῷ καὶ ἀλη-
θεύων. δηλονότι τὸ τὸν ἕξει καὶ ἀτιμί-
αν, ὁ τῶν οἰκείων συνθηκῶν παραβά-
της γενόμενος· ὡς ὀμόσας ἐν τῷ
θεῷ καὶ ψευσάμενος: τούτων ὑπερχό-
μενος ὡς περιοικίας τινὰς τὰς καρ-
δίας, ἤγουν τὴν ἑκάστου διάθεσιν· τὸ
δρέπανον, τουτέστιν ὁ τοῦ θεοῦ καὶ πρό-
λογος· ἅτε δὴ γνώσεως κατ᾽ οὐσίαν ὑπάρ-
χων καὶ ἀρετῆς. συντέτμηκε πᾶσαν αὐτοῖς
τὴν πρὸς τὸ κρεῖττον μετακομιδήν· τὴν προ-
τέραν τῆς ἑκάστου καρδίας ἐξαφανί-
ζων κατάστασιν. καὶ φθόρον ἑκατέρων
πρὸς τὴν τοῦ λείποντος αὐτῷ καλοῦ
μετουσίαν. καὶ ποιῶν τὸν μὲν κλέπτην
τῆς γνώσεως ἐργάτην ἀρετῆς ἀνεπαι-
σχυντον· τὸν δὲ κλέπτην τῆς τῶν ἐκ-
φαινομένης καταστολῆς ἐπιτήδευμα
τῆς κατ᾽ ἀρετὴν κρυπτομένης γεωργί-
ας διαθέσεως· τὸν ἐπίορκον δὲ ἀληθευτήν

οἰκιῶν ὑπὸ σχεδὸν ἐργαζόμενος
θυμ[illegible]. τοῖς ἔργοις τοῖς φωτεινοῖς ἐν τῷ καιρῷ τὰς
οἰκίας ἐκκλησίας ποιούμενον:—

Ἐρώτησις ξγ':

Ἐν τῷ αὐτῷ προφήτῃ γέγραπται πάλιν.
καὶ εἶπεν πρός με τί σὺ βλέπεις· καὶ εἶ
πα ἑώρακα καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη.
καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς· καὶ
ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς· καὶ ἑπτὰ
ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω
αὐτῆς· καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς·
μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς
καὶ μία ἐξ εὐωνύμων. τίς ἡ λυχνία
καὶ διατί χρυσῆ καὶ τί τὸ λαμπάδιον
τὸ ἐπάνω αὐτῆς· τίνες οἱ ἑπτὰ λύχνοι.
καὶ τίνες αἱ ἐπαρυστρίδες τῶν ἑπτὰ
λύχνων· καὶ τίνες αἱ δύο ἐλαῖαι· καὶ
διατί ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων
τοῦ λαμπαδίου:— Ἀπόκρισις:—

[illegible] τὸν καὶ [illegible] τηνικαῦτα
ας ἐκκλησίας [illegible]
ρας [illegible] τῷ προφήτῃ σημειωτικῶς προ
διαγράφων ὁ λόγος. ταύτην οὕτως
[illegible] τὴν ὅρασιν [illegible]
[illegible] τοῦ καιροῦ αὐτὴν καινουμ
[illegible] τὴν [illegible] Μελχισεδὲκ [illegible]

περὶ λυχνίας

ἐστὶν ὁ μόνος χριστός. ἡ τοῦ θεοῦ πανάμωμος
ἐκκλησία· καθαρὰ καὶ ἀμίαντος·
ἄχραντος καὶ ἀκίβδηλος καὶ ἀμώμη-
τος. καὶ τοῦ ἀληθινοῦ φωτὸς δεκτική·
φασὶν γὰρ τὸν ἀκίβδηλον χρυσὸν
μήτε μολύνεσθαι καταχωννύμενον
γῇ ποτὲ τινὶ καὶ διαφθείρεσθαι· μήτε μὴν
μειοῦσθαι· πᾶν τοὐναντίον ἐκπυρούμενον·
προσδὲ καὶ τῆς ὀπτικῆς τῶν ἐνατε-
νιζόντων αὐτοῦ διαυγέστερος κατά
τιν' ἀφθονίαν ἐνέργειαν ἤγουν ἀρα-
στικόν τε καὶ ἀναλαμπτικόν· τοιαύτη
δὲ καὶ ἡ τοῦ θεοῦ πανένδοξος ἐκκλη-
σία δι' αὐτῶν καταμυηθεῖσα τῶν
παραγγελμάτων ὑπάρχουσα τὰς φωνὰς,
κατὰ τὴν τοῦ χρυσοῦ καθαρότα-
την φύσιν· ἀκίβδηλος μὲν, ὡς μη-
δὲν ἔχουσα τὸ σύνολον τὸ κατὰ
τὴν τοῦ μυστηρίου τῆς θεολογίας
ἐπίκτητον καὶ ἀλλότριον· καθαρὰ δὲ,
ὡς τῇ λαμπρότητι τῶν ἀρετῶν
διαυγὴς καὶ ἔνδοξος· ἀμίαντος
δὲ, ὡς μηδενὶ ῥύπῳ μολυνομένη πα-
θῶν· ἄχραντος δὲ, ὡς πᾶσιν τοῖς
πονηροῖς ἀνέπαφος τυγχάνουσα· μήτε μὴν
τοῖς ὕμνοις καινοῖς πειρασμοῖς ἤ τινι
κακίας μεταμορφουμένη· ἀμώμητος δὲ

※ περὶ ἀκιβδήλου χρυσοῦ ἡ ἐκκλησία·

περὶ ἀχράντου ... ἐκκλησίας...

ἀμυδρότατος. ὡς μὲν δὲ ἡ καιομένη
τοῖς κατ' αἰγυπτίοις [illegible] πυρουμέ-
νη ἐξ αὐτῆς [illegible] τοῖς τῶν ὀρθοδό-
ξων ἐστὶν [illegible] καὶ [illegible].
κατὰ [illegible] πίστιν ἐπο-
λιτεύσαντο. καὶ οἱ μὲν [illegible] δι' αὐτὸ
καιρὸς [illegible]
σαν· διὸ καὶ [illegible] κατὰ τὴν χά-
ριν [illegible] διανοίας. τῶν εὐ-
σεβῶν [illegible] τὴν [illegible]·
Καὶ νῦν μὲν γὰρ τοῖς εὐσεβέσι. παρε-
χομένη τὸ φῶς τῆς ἀληθείας ἐπι-
γινώσκουσι· σωτηρία δὲ τοῖς τῶν
κατ' αὐτὴν μυστηρίων φιλοθεάμο-
νας. ἀπαθῆ καὶ [illegible] τὴν
κόρην τῆς αὐτῶν διανοίας φυλάτ-
τουσα· τοῖς δὲ κατ' [illegible]
[illegible] κόπους. ἀφανίζεται, [illegible]
μέσῳ τῆς παρακλήσεως [illegible]
ται τὴν παθοῦσαν διάνοιαν· οὕ-
τως μὲν οὖν ἔχουσαν τὴν ὁραθεῖσαν
τοῦ προφήτου [illegible] κατὰ [illegible]
[illegible] δι' αὐτῶν εἰρημένων
κατανοήσαμεν. τὸ δὲ λαμπάδι-
ον τὸ [illegible] αὐτῆς ἐστιν. τὸ πυρικὸν φῶς
καὶ ἀληθινόν. ὃ φωτίζει πάντα ἄνθρω-
πον ἐρχόμενον εἰς τὸν κόσμον. ὁ κύριος ἡμῶν

[illegible]

[illegible]

ἰ(ησο)ῦ χ(ριστο)ῦ. διὰ τὴν πρόσληψιν τῆς ἐξ ἡμῶν
καὶ ἡμετέρας σαρκὸς [illegible].
καὶ γεγεννημένος καὶ προσηγορευμέ-
νος· [illegible] καταφαίνων τοῦ θ(εο)ῦ καὶ πατρὸς
ἐνυπόστατος σοφία καὶ λόγος· ὁ ἐν
τῇ ἐκκλησίᾳ τοῦ θ(εο)ῦ κηρυττόμενός τε
κατὰ τὴν εὐσεβῆ πίστιν καὶ τοῦ
υἱοῦ τοῦ κατ' [illegible] διὰ τῆς τῶν
ἐντολῶν παραφυλακῆς [illegible]
ἐν τοῖς ἔθνεσι καὶ διαφαινόμενος· ὡς
πᾶσι λάμπων τοῖς ἐν τῇ οἰκίᾳ. λέγω δὲ
τῷ δὲ τῷ κόσμῳ. καθά που φησὶν
αὐτὸς ὁ θ(εὸ)ς καὶ λόγος· οὐδὲ ἅπτουσι λύχνον
καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον.
ἀλλ' ἐπὶ τὴν λυχνίαν. καὶ λάμπει πᾶσι
τοῖς ἐν τῇ οἰκίᾳ: λύχνον ἑαυτὸν
[illegible] ὡς κατὰ φύσιν θ(εὸ)ς ὑπάρ-
χων. καὶ σὰρξ κατ' οἰκονομίαν γενό-
μενος· ὁ ἀειφαὴς κατ' οὐσίαν. λύχνου
δὲ [illegible] ἀπεριγράφως διὰ [illegible] τέχνης
ὡς δι' ἀνθρ[illegible] ἀλλ' [illegible] τὸ πῦρ· τῷ τῆς σαρ-
κὸς ὀστράκῳ κρατούμενος· ὁ πρὸ αἰώ-
νων ὢν καὶ ὁ μέγας [illegible]. λύχνον κέ-
